Ide.

Si ergo humilem, uocat abiectum
Si min. Iustitiam, aut Iniustitiam, uides credentes
Si aliquantum doctum, sciam uocat . . .
Si seuerum, tanquam crudelis . . .
Si Indulgentem, facilitati . . .
Si simplicem, ut brutus despicit.
Si acrem, uitatur, ut callidus
Si diligentem, superstitiosum, ut . . .
Si remissum, negligens . . .
Si sollertem, cupidus.
Si quietum, pronunciatur ignauus
Si abstinentiam, pellucidum, . . . accipit
Si eum, qui prandendo pascat: edacitatem . . .
Si, qui cascendo ieiunat: uanitatis . . .
Libertatem et . . . condemnat
Verecundiam rusticitate . . .
Rigidos ac austeritati . . .
Blandos . . . comunione uilescit
Ac si . . . quo uiuat, . . .
tamen . . . punientibus linguis
maledicere, . . . uocant.

Ide.

Hier. Interpres Dialecticus Augustinus
Allegoricus Origenes

Ide in epist.

Toreumata, peripetasmata quo modo contra . . . subtiliter . . .
. . . planant, . . . Scyphos et pateras
uarias oblationes, facilius est . . . quid multis
Uideas ibi elegantiam Graecam, abundantiam Gallicam, . . . Italicam
. . . diligentiam . . . regiam disciplinam.

N. 268

C. 23

C. 2



AESOPI PHRYGIS FABVLAE GRAECE ET LAtine, cum aliis opusculis, quorum, index proxima refertur pagella.



τρικέφαλος ἑρμῆς, περὶ οὗ σουίδας.

Basileæ, in officina Heruagiana.
Anno M. D. XXXVIII.

INDEX AVTORVM HVIVS LIBRI.

Aeſopi Phrygis uita & fabellę.

Gabriæ Græci fabellę tres & quadraginta ex trimetris iambis, præter ultimam ex ſcazonte, tetraſtichis concluſæ.

Ex Aphthonij exercitamentis de fabula, tum de formicis & cicadis.

De fabula ex imaginibus Philoſtrati,

Homeri βατραχομυομαχία, hoc eſt, ranarum & murium pugna.

Muſeus poëta uetuſtiſs. De Ero & Leandro.

Agapetus diaconus De officio regis ad Iuſtinianum Cæſarem.

Hippocratis iuſiurandum.

Hæc omnia cum Latina interpretatione.

γαλεωμυομαχία, hoc eſt, felium & murium pugna, tragœdia Græca.

Fabularum index in fine adiectus eſt.

IOANNES FROBENIVS STVDIOSIS S.

ITerum exhibemus uobis Aesopi fabellas cum aliquot alijs libellis Græce & Latine, quod proximam æditionẽ, quæ tota Græca fuit, ijs qui adhuc tirones sunt in Græcanica literatura, minus gratam fuisse cognouerimus, quibus hoc Enchiridium præcipue paratur. Nam qui iam aliquatenus profecerũt, malunt in alijs autoribus se exercere. Nos etiam incipientibus consulendum putamus. Nec libet quibusdã hodie in academijs uersari, ubi sunt publici Græcarum literarum professores, propter ingens istud dissidium, quod magnam orbis partem, sed præcipue gymnasia affligit, bonis studijs omnibus internicionem minitans, nisi melior deus aliquis succurrat. Talibus igitur qui domi, suo, quod aiunt, Marte, aliquid Græcanicæ eruditionis comparare uolunt, muti magistri uice erit Latina uersio. Vos nostram operam boni consulite, & bene ualete. Basileæ.

ΑΙΣΩΠΟΥ ΒΙΟΣ ΤΟΥ ΜΥΘΟΠΟΙΟΥ

Μαξίμῳ τῷ Πλανούδῃ συγγραφείς.



Πραγμάτων φύσιν τῶν ἐν ἀνθρώποις ἠκρίβωσαν μὲν καὶ ἄλλοι, καὶ τοῖς μετ' αὐτοὺς παρέδωκαν φροντίδος, αἴσωπος δὲ δοκεῖ μὴ πόῤῥω θειοτέρας ἐπιπνοίας τῆς ἠθικῆς διδασκαλίας ἁψάμενος, πολλῷ τῷ μέτρῳ τοὺς πολλοὺς αὐτῶν παρελάσαι. καὶ γὰρ οὔτ' ἀποφαινόμενος, οὔτε συλλογιζόμενος, οὔτε μὴν ἐξ ἱστορίας, ἣν ὁ πρὸ τῆς κατ' αὐτὸν ἡλικίας ἐπήνεγκε χρόνος, τὴν νουθεσίαν διατιθέμενος, ἀλλὰ μύθοις τὰ πάντα παιδοτριβῶν, οὕτω τὰς τῶν ἀκροωμένων ἀγρεύει ψυχὰς, ὡς αἰσχύνεσθαι τοὺς λογικοὺς ποιεῖν ἢ φρονεῖν, ἃ μήτ' ὄρνιθες, μήτ' ἀλώπεκες. καὶ αὖ πάλιν μὴ προσέχειν ἐκείνοις, οἷς πολλὰ τῶν ἀλόγων ἐν καιρῷ νουνεχῶς προσεσχηκότα μυθεύεται. ἐξ ὧν τοὺς μὲν κινδύνους ἐπηρμένους αὐτοῖς διέδρα, ἃ δὲ μεγίστης ἐν τοῖς καιρίοις τῆς ὠφελείας ἔτυχεν. οὗτος τοίνυν ὁ τὸν καθ' αὐτὸν βίον φιλοσόφου πολιτείας εἰκόνα προθέμενος, καὶ ἔργοις μᾶλλον, ἢ λόγοις φιλοσοφήσας, τὸ μὲν γένος ἐξ ἀμορίου τῆς φρυγίας κατῆγε τῆς μεγάλης ἐπίκλησιν. τὴν δὲ τύχην γέγονε δοῦλος. ἐφ' ᾧ καὶ σφόδρα μοι δοκεῖ, τὸ τοῦ πλάτωνος ἐν γοργίᾳ καλῶς ἅμα καὶ ἀληθῶς εἰρῆσθαι, ὡς τὰ πολλὰ γὰρ ταῦτά φησιν ἐναντία ἀλλήλοις ἐστὶν, ἥτε φύσις, καὶ ὁ νόμος. αἰσώπου γὰρ τὴν ψυχὴν ἡ μὲν φύσις ἐλευθέραν ἀπέδωκεν, ὁ δὲ παρ' ἀνθρώπων νόμος τὸ σῶ-

μα

AESOPI FABVLATORIS VITA à Maximo Planude composita.



Erum humanarũ naturam persequuti sunt & alij, & posteris tradiderunt. Aesopus uero uidetur non absq; diuino afflatu cum moralem disciplinã attigerit, magno interuallo multos eorum superasse. Etenim neq; definiendo, neq; ratiocinãdo, neq; ex historia, quam ante ipsius ætatem tulit tempus, admonendo, sed fabulis penitus erudiẽdo, sic audientium uenatur animos, ut pudeat ratione præditos facere, aut sentire, quæ neq; aues, neq; uulpes: & rursus non uacare illis, quibus pleraq; bruta tempore prudẽter uacasse finguntur, ex quibus aliqua, pericula imminẽtia effugerũt, aliqua maximã utilitatẽ in opportunitatibus cõsequuta sunt. Hic igitur qui uitam suam philosophicæ reipublicę imaginẽ proposuerat, & operibus magis q̃ uerbis philosophatus, genus quidẽ traxit ex Amorio oppido Phrygiæ cognomento Magnæ, sed fortuna fuit seruus. Quare & magnopere mihi uidetur Platonis illud in Gorgia pulchre simul & uere dictum: Plerunq; enim hæc, inquit, contraria inter se sunt, natura simul ac lex. Nam Aesopi animũ natura liberum reddidit, sed hominum lex cor

μα πρὸς δουλείαν ἀπέδοτο. ἴσχυσε μὲν τοι οὐδ' οὕτω τὴν τῆς ψυχῆς ἐλευθερίαν λυμήνασθαι. ἀλλὰ καί τοι πρὸς πολλὰ καὶ πολλαχόσε μεταφορῶν τὸ σῶμα, τῆς οἰκείας ἐκείνην ἕδρας οὐκ οἷός τ' ἐγένετο μεταστῆσαι. ἐτύγχανε δ' ὢν οὐ μόνον δοῦλος, ἀλλὰ καὶ δυσειδέστατα τῶν ἐπ' αὐτοῦ πάντων ἀνθρώπων εἶχε. καὶ γὰρ φοξὸς ἦν, σιμὸς τὴν ῥῖνα, σιμὸς τὸ τράχηλον, πρόχειλος, μέλας. ὅθεν καὶ τοῦ ὀνόματος ἔτυχε. ταὐτὸν γὰρ αἴσωπος τῷ αἰθίοπι. προγάστωρ, βλαισὸς, καὶ κυφός. τάχα καὶ τὸν ὁμηρικὸν θερσίτην τῇ αἰσχρότητι τοῦ εἴδους ὑπερβαλλόμενος. τὸ δὲ δὴ πάντων ἐν αὐτῷ χείριστον ἦν, τὸ βραδύγλωσσον, καὶ τὸ τῆς φωνῆς ἄσημόν τε καὶ ἀδιάρθρωτον. ἃ πάντα καὶ δοκεῖ τὴν δουλείαν αἰσώπῳ παρασκευάσαι. καὶ γὰρ δὴ καὶ θαῦμα ἂν ἦν, εἰ οὕτως ἀτόπως ἔχοντι τοῦ σώματος, ἐξεγένετο τὰς τῶν δουλούντων ἄρκυς διαφυγεῖν. ἀλλὰ τὸ μὲν σῶμα τοιοῦτον ἦν τῷ ἀνδρί. τὴν δὲ ψυχὴν ἀγχινούστατος ἐπεφύκει, καὶ πρὸς ἐπίνοιαν πᾶσαν εὐβολώτατος. ὁ κεκτημένος τοίνυν αὐτὸν, ἅτε πρὸς οὐδὲν οἰκίας ἔργων οἰκείως ἔχοντα, σκάπτειν εἰς ἀγρὸν ἐξαπέστειλεν. ὁ δ' ἀπελθὼν, προθύμως τοῦ ἔργου εἴχετο. ἀφικομένῳ δέ ποτε καὶ τῷ δεσπότῃ πρὸς τὸν ἀγρὸν, ἐφ' ᾧ τῶν ἔργων ἐπισκοπὴν θέσθαι, γεωργός τις σῦκα τῶν ἀγαθῶν δρεψάμενος δῶρον ἐπήνεγκεν. ὁ δ' ἡσθεὶς τῷ τῆς ὀπώρας κάλλει ὡραίῳ, ἀγαθόποδι τῷ οἰκέτῃ. τοῦτο γὰρ ἦν ὄνομα τῷ παιδί, φυλάττειν ἐκέλευσεν, ὡς αὐτῷ μετὰ τὸ λουτρὸν παραθεῖναι. συμβὰν δ' οὕτω, καὶ τοῦ αἰσώπου κατὰ δή τινα χρείαν εἰσελθόντος εἰς τὴν οἰκίαν, ἀφορμῆς ὁ ἀγαθόπους λαβόμενος, βουλὴν τοιάνδε τῶν συνδού-

λων

pus in ſeruitium tradidit. Potuit tamen ne ſic quidem animi libertatẽ corrũpere. Sed quãuis ad res uarias, & in diuerſa loca transferret cor pus, à propria tamen ſede illum traducere non potuit. Fuit aũt non ſolum ſeruus, ſed & defor miſſimus omnium ſuæ ætatis hominum: nam acuto capite fuit, preſſis naribus, depreſſo col= lo, prominẽtibus labris, niger, unde & nomen adeptus eſt (idem enim Aeſopus, quod Aethi= ops) uẽtroſus, ualgus, & incuruus, forte & Ho mericũ Therſiten turpitudine formæ ſuperãs. Hoc uero omnium in eo peſſimũ erat, tardilo= quentia & uox obſcura ſimul, & inarticulata. Quæ omnia etiã uidẽtur ſeruitutẽ Aeſopo pa= raſſe. Etenim mirum fuiſſet, ſi ſic indecenti cor pore potuiſſet ſeruientium retia effugere. Sed corpore ſanè tali, animo uero ſolertiſſimo na= tura extitit, & ad omne cõmentũ feliciſſimus. Poſſeſſor igit̃ ipſius tanꝗ ad nullũ domeſticũ opus commodũ, ad fodiendũ agrum emiſit. il= le uero digreſſus alacriter operi incũbebat. pro fecto uero aliquãdo & hero ad agros, ut opera ſpecularet̃, agricola quidã ficos egregias decer ptas dono tulit. Ille uero fructus delectatus pul chritudine, Agathopodi miniſtro (hoc eñ erat nomẽ puero) ſeruare iuſſit, ut ſibi poſt balneũ apponeret. cũ uero ita eueniſſet, atq; Aeſopo ob quandã neceſſitatẽ ingreſſo in domũ, occa= ſiõe capta Agathopus cõſiliũ huiuſmodi cõſer

λων τινὶ προτείνει, ἐμφορηθῶμεν εἰ δοκεῖ τῶν σύκων ὦ οὗτος, κἂν ὁ δεσπότης ἡμῶν ταῦτα ζητήσῃ. ἀλλ' ἡμεῖς τοῦ αἰσώπου καταμαρτυρήσομεν ἄμφω, ὡς εἰς τὴν οἰκίαν εἰσδραμόντος, καὶ τὰ σῦκα λάθρα καταφαγόντος, καὶ ἐπ' ἀληθεῖ θεμελίῳ τῇ πρὸς τὸν οἶκον εἰσόδῳ, πολλὰ τῶν ψευδῶν ἐποικοδομήσομεν, καὶ τὸ μηδὲν ἔσται ὅγε εἷς πρὸς τοὺς δύο, καὶ ταῦτα μηδ' ἂν οὖν ἐλέγχων δεῖξαί ποτε τὴν γλῶτταν δύναμιν ἔχων. δόξαντος δὴ τούτου, πρὸς τοὖργον ἐχώρησαν. καὶ τῶν σύκων ἐσθιόντων ἔλεγον ἐφ' ἑκάστῳ σὺν γέλωτι, φεῦ σοι δύστηνε αἴσωπε. ὁ τοίνυν δεσπότης ἐπανελθὼν ἀπὸ τοῦ λουτροῦ, καὶ τὰ σῦκα ζητήσας, καὶ ἀκούσας, ὡς αἴσωπος αὐτὰ κατεδηδόκει, τόν τε αἴσωπον σὺν ὀργῇ κελεύει κληθῆναι, καὶ κληθέντι φησὶ, λέγε μοι ὦ κατάρατε. οὕτω μου κατεφρόνησας, ὡς εἰς τὸ ταμιεῖον εἰσελθεῖν, καὶ τὰ ἑτοιμασθέντα μοι σῦκα θοινήσασθαι; ὁ δὲ ἀκούων μὲν, καὶ συνιεὶς ἦν, λαλεῖν δὲ εἶχεν οὐδ' ὁπωσοῦν διὰ τὸ βραδύγλωσσον. μέλλων δὲ ἤδη τύπτεσθαι, τῶν κατηγόρων σφοδροτέρων ὑποκειμένων, πεσὼν πρὸς τοὺς τοῦ δεσπότου πόδας, ἀνασχέσθαι μικρὸν ἐδεῖτο. δραμὼν δὲ, καὶ χλιαρὸν ὕδωρ προσενεγκὼν, τοῦτό τε πέπωκε, καὶ τοὺς δακτύλους εἰς τὸ στόμα καθεὶς, αὖθις τὸ ὑγρὸν μόνον ἀνέβαλεν. οὔπω γὰρ τροφῆς ἀψάμενος ἔτυχεν, ἠντιβόλει γοῦν αὐτὸ τοῦτο καὶ τοὺς διώκοντας δρᾶσαι, ὡς ἂν δῆλον γένηται, τίς ὁ τὰ σῦκα διαφορήσας. ὁ δὲ δεσπότης τὸ νόημον αὐτοῦ θαυμάσας, οὕτω ποιεῖν καὶ τοὺς ἄλλους ἐπέταξεν. οἱ δ' ἐβουλεύσαντο πιεῖν μὲν τοῦ ὕδατος, μὴ μέντοι καθεῖναι εἴσω τοῦ λαιμοῦ τοὺς δακτύλους, ἀλλ' ὑπὲρ τὰ πλάγια τῶν

γνάθων

uo cuidam offert: impleamur, si placet, ficibus, heus tu: ac si herus noster has requisierit, nos uero contra Aesopum testificabimur ambo, q͏̃ in domum ingressus sit, & ficus clam comerit, & super uero fundamento, uidelicet in domũ ingressione, multa mendacia inædificabimus, & nihil unus ad duos fuerit, præsertim cũ ne sine probationibus quidem diducere unq̃ os queat. Viso uero hoc, ad opus accesserũt, & ficus deuorantes, dicebãt in singulis cum risu: Væ tibi infelix Aesope. Cum igitur herus rediisset à lauacro, & ficus petiisset, & audiuisset q͏̃ Aesopus eas comederit, & Aesopũ cum ira iubet uocari, & uocato ait: Dic mihi, ô execrãde, ita me cõtempsisti, ut in penu ingredereris, & paratas mihi ficus comederes? Ille audiebat quidẽ, & intelligebat, sed loqui poterat nullo modo ob linguę tarditatẽ. Cum iam uerberandus esset, & delatores uehemẽtiores instarent procumbens ad heri pedes, ut sustineret se parum, orabat: cum autẽ accurrisset, & tepidam aquam attulisset, eam bibit, & digitis in os demissis, rursum humorẽ solum reiecit: nondum enim cibum attigerat: orabat igitur ut idem et accusantes facerent, quo manifestũ fieret, quisnam ficus dissipasset. herus aũt ingeniũ hominis admiratus, sic facere & alios iussit: illi autẽ deliberauerãt bibere quidẽ aquam, nõ tamen demittere in guttur digitos, sed per obliqua

γνάθων αὐτοῦ παραφέρειν. οὐκ ἔφθασαν δὲ πιόντες, καὶ τὸ χλιαρὸν ὕδωρ ἐκεῖνο ναυτίαν τοῖς πεπωκόσι παραχρῆμα ἐπιγινόμενον, αὐτομάτην παρέσχε τὴν ὀπώραν ἀναδοθῆναι, τότε τοίνυν πρὸ ὀφθαλμῶν ὄντος, τοῦ τε κακουργήματος τῶν οἰκετῶν, καὶ τῆς συκοφαντίας, ὁ μὲν δεσπότης ἐκέλευσεν αὐτοὺς γυμνωθέντας μαστίζεσθαι, οἱ δ' ἐπέγνωσαν σαφῶς εἶναι τὸν εἰπόντα, ὡς ὅς τις καθ' ἑτέρου δόλια μηχανεύεται, αὐτὸς λέληθε τὸ κακὸν ἀρχιτεκτονῶν. τῇ δ' ἐπιούσῃ, τοῦ μὲν δεσπότου εἰς ἄστυ ἐπαναζεύξαντος, τοῦ δ' αἰσώπου σκάπτοντος ᾗ προσετάχθη, ἱερεῖς τῆς ἀρτέμιδος εἴτ' ἄλλοι τινὲς ἄνθρωποι τῆς ὁδοῦ πλανηθέντες, καὶ τῷ αἰσώπῳ περιτυχόντες, προὐτρέποντο πρὸς διὸς ξενίου τὸν ἄνδρα, τὴν εἰς ἄστυ φέρουσαν αὐτοῖς ὑποδεῖξαι. ὁ δ' ὑπὸ σκιὰν δένδρου τοὺς ἄνδρας ἀπαγαγὼν πρότερον, καὶ λιτὸν παραθέμενος δεῖπνον, εἶτα καὶ ἡγησάμενος αὐτοῖς, εἰς ἣν ἐζήτουν ὁδὸν εἰσήνεγκεν. οἱ μὲν οὖν τοῦτο μὲν ἐπὶ τῇ ξενίᾳ, τοῦτο δὲ καὶ ἐπὶ τῇ ὁδηγίᾳ διαφερόντως τοῦ ἀνδρὸς ἐξαρτηθέντες, τάς τε χεῖρας εἰς οὐρανὸν ἦραν, καὶ εὐχῇ τὸν εὐεργέτην ἠμείψαντο. αἴσωπος δ' ὑποστρέψας, καὶ εἰς ὕπνον καταπεσὼν ὑπό τε τοῦ συνεχοῦς πόνου καὶ καύματος, ἔδοξεν ἰδεῖν τὴν τύχην ἐπιστᾶσαν αὐτῷ, καὶ λύσιν τῆς γλώττης καὶ λόγου δρόμον καὶ σοφίαν τὴν τῶν μύθων χαριζομένην. εὐθὺς οὖν διυπνισθείς, φησί, βαβαὶ πῶς ἡδέως κεκοίμημαι, ἀλλὰ καὶ καλὸν ὄνειρον ἰδεῖν ἔδοξα. καὶ ἰδοὺ ἀκωλύτως λαλῶ, βοῦς, ὄνος, δίκελλα. νὴ τοὺς θεοὺς συνῆκα πόθεν μοι τἀγαθὸν προσεγένετο τοῦτο. εὐσεβήσας γὰρ εἰς τοὺς ξένους, ἀντιλαμβανομένου

τοῦ

maxillarum eos circumferre. uix dum autem biberant, cum tepida illa aqua nausea potis inducta effecit, ut spōte fructus redderetur. Tunc igitur ante oculos posito & maleficio ministrorum & calūnia, herus iussit eos nudos flagro uapulare. illi uero cognouerunt manifeste dictum illud, Qui in alterum dolos struit, sibi inscius malum fabricat. Sequenti uero die hero in urbem reuecto, Aesopo uero fodiēte, quem admodum iussus fuerat, sacerdotes Dianæ, siue alij quidam homines uia errantes, & Aesopum nacti, exhortabantur per Iouem hospitalem hominem, ut quę in urbem duceret, uiam ostenderet. Ille cum sub umbram arboris uiros adduxisset prius & frugalem apposuisset cœnam, inde & dux factus ipsis, in quam quærebant uiam induxit. Illi autem tum ob hospitalitatem, tum ob ducatum, mirum in modū uiro deuincti, & manus in cœlum eleuarunt, & precibus benefactorem remunerati sunt. Aesopus uero reuersus, & in somnum lapsus. & assiduo labore & ęstu, uisus est uidere Fortunam astantem sibi, & solutionem linguę & sermonis cursum, & eam quæ fabularū est doctrinā largientem. statim igiť excitatus ait, Papè ut suauiter dormiui: sed & pulchrum somniū uidere uisus sum, & ecce expedite loquor. Bos, asinus, rastrū, per deos intelligo: unde mihi bonū accesserit hoc. quia enim pius fui in hospites, propitiū

numen

τοῦ κρείττονος ἔτυχεν. ἄρ᾽ οὖν τὸ εὖ ποιεῖν ἀγαθῶν ἐστι πλῆρες ἐλπίδων. οὕτω μὲν οὖν αἴσωπος ὑπερησθεὶς τῷ πράγματι, πάλιν ἤρξατο σκάπτειν. τοῦ δ᾽ ἐφεστηκότος τῷ ἀγρῷ. ζηνᾶς ἦν αὐτῷ τοὔνομα. πρὸς τοὺς ἐργαζομένους ἐλθόντος, καὶ τούτων ἕνα, ἐπειδὴ μικρὸν ἐσφάλη τοῦ ἔργου, τῇ ῥάβδῳ πατάξαντος, αἴσωπος παραχρῆμα ἀνέκραγεν, ἄνθρωπε, τοῦ χάριν τὸν μηδὲν ἠδικηκότα οὕτως αἰκίζῃ, καὶ πᾶσιν εἰκῇ πληγὰς ἐμφορεῖς δι᾽ ἡμέρας; πάντως ἀναγγελῶ ταῦτα τῷ κεκτημένῳ. ζηνᾶς δὲ ταῦτα τοῦ αἰσώπου ἀκούσας, ἐξεπλάγη τε οὐ μέσως, καὶ πρὸς ἑαυτὸν εἶπεν, αἴσωπος λαλεῖν ἀρξάμενος, οὐδὲν ἐμοὶ ὄφελος ἔσται. φθάσας τοίνυν αὐτὸς κατηγορήσω αὐτοῦ ἐπὶ τοῦ δεσπότου, πρὶν αὐτὸς τοῦτ᾽ αὐτὸ δράσῃ, καί με ὁ δεσπότης τῆς ἐπιτροπῆς παραλύσῃ. ταῦτ᾽ εἰπὼν εὐθὺ τῆς πόλεως πρὸς τὸν δεσπότην ἤλαυνε. καὶ δὴ σὺν θορύβῳ προσελθὼν, χαῖρε φησὶ δέσποτα. ὁ δὲ, τί τεθορυβημένος πάρει φησί; καὶ ὁ ζηνᾶς, χρῆμά τι τερατῶδες ἐν τῷ ἀγρῷ συνέβη. καὶ ὁ δεσπότης, ἦπου τι δένδρον παρὰ καιρὸν καρπὸν ἤνεγκεν; ἢ τῶν κτηνῶν τι παρὰ φύσιν ἐγέννησε; καὶ ὅς, οὐχ οὕτως, ἀλλ᾽ αἴσωπος ἄναυδος τὸ πρότερον ὢν, νυνὶ λαλεῖν ἤρξατο. καὶ ὁ δεσπότης, οὕτω σοι μηδὲν τῶν ἀγαθῶν γένοιτο, τοῦτο νομίζοντι τέρας εἶναι. ὁ δὲ καὶ μάλα, φησίν. ἃ μὲν γὰρ εἰς ἐμὲ περιύβρισεν, ἑκὼν παρίημι δέσποτα. εἰς δὲ σὲ καὶ θεοὺς οὐ φορητὰ βλασφημεῖ. ἐπὶ τούτοις ὀργῇ ληφθεὶς ὁ δεσπότης, τῷ ζηνᾷ φησιν ἰδού σοι παραδέδοται αἴσωπος, ἀπόδου, δώρησαι, ὃ βούλει ἐπ᾽ αὐτῷ ποίησον. τοῦ δὲ ζηνᾶ ἀπ᾽ αὐτοῦ γινόμενον παραλαβόντος τὸν αἴσω-

πον

numen cõsequutus sum. Ergo benefacere, bona plenum est spe. Sic igitur Aesopus lætatus facto, rursum cœpit fodere. Sed præfecto agri (Zenas erat ipsi nomẽ) ad operarios profecto, & horum unum, quoniam parũ errauerat in opere, uirga uerberante, Aesopus statim exclamauit, Homo cuius gratia eum qui nulla iniuria affecit, sic uerberas? & omnibus temere plagas ingeris quotidie? omnino renunciabo hęc hero. Zenas autẽ hæc ab Aesopo audiens obstupuit non mediocriter: & secum ait, ꝙ Aesopus loqui cœperit, nulla mihi utilitas erit: præueniens igitur ipse accusabo eum corã domino, anteꝗ ipse hoc idẽ faciat, & me herus procuratione priuet. His dictis, urbẽ uersus ad dominum uectus est: cæterũ turbatus cum accessisset. Salue, inquit, here. Ille uero, Quid perturbatus ades? inquit. Et Zenas, Res quædã monstrosa in agro contigit. Et herus, Nũquid arbor pręter tempus fructum tulit? aut iumentum aliquod præter naturã genuit? Et ille, Nõ ita, sed Aesopus qui antea erat mutus nunc loqui cœpit. Et herus, Sic tibi nihil boni fiat, hoc existimanti monstrũ esse. Et ille, Et sanè, inquit: nam quæ in me cõtumeliose dixit, sponte prætereo here: in te aũt & deos intolerabiliter cõuiciat. His ira percitus herus, Zenę ait, ecce, tibi traditus est Aesopus, uende, dona, ꝙ uis de eo fac. Cũ Zenas aũt in potestate sua accepisset Aesopum

πον, καὶ τὴν κατ' αὐτοῦ δεσποτείαν αὐτῷ ἀπαγγείλαν-
τος, ἐκεῖνος ὅ, τι δή ποτε βουλομένῳ σοί ἐστί φησιν
ἔργασαι. ἐπεὶ δὲ δή τινα τύχην ἀνδρός τινος κτήνη
ζητοῦντος πρίασθαι, καὶ διὰ ταῦτα τὸν ἀγρὸν διϊόν-
τος ἐκεῖνον καὶ τὸν ζηνᾶν ἐρομένου, ἐκεῖνος θρέμμα
μὲν οὐκ ἔστι μοί φησιν ἀποδόσθαι, σωμάτιον δὲ ἄρρεν, ὅ-
περ εἰ θέλεις ὠνήσασθαι, πάρεστι. τοῦ δὲ ἐμπόρου φή-
σαντος ὑποδειχθῆναι αὐτῷ τὸ σωμάτιον, καὶ τοῦ
ζηνᾶ τὸν αἴσωπον μεταπεμψαμένου, ὁ ἔμπορος ἰδὼν
αὐτὸν καὶ ἀνακαγχάσας, πόθεν σοί φησι πρὸς τὸν ζη-
νᾶν. ἥδε ἡ χύτρα; πότερον στέλεχός ἐστι δένδρου, ἢ ἄν-
θρωπος; οὗτος εἰ μὴ φωνὴν εἶχεν, οὐδὲν ἂν ἔδει μὴ οὐ-
χὶ δοκεῖν ἀσκοκήλη. ἵνα τί μοι τὴν πορείαν διέκοψας
τουτὶ τοῦ καθάρματος ἕνεκεν; ταῦτ' εἰπὼν, ἀπῄει
τὴν ἑαυτοῦ ὁδόν. ὁ δ' αἴσωπος μεταδιώξας αὐτὸν,
μεῖνόν φησιν. ὁ δὲ μεταστραφεὶς, ἄπιθί φησιν ἀπ' ἐμοῦ
ῥυπαρώτατε κύων. καὶ ὁ αἴσωπος, εἰπέ μοι, τίνος
ἕνεκεν δεῦρο ἐλήλυθας; καὶ ὁ ἔμπορος, κάθαρμα,
ἵνα τι χρηστὸν πρίωμαι, σοῦ δὲ ἀχρήστου καὶ σαπροῦ ὄν-
τος, οὐ χρῄζω. καὶ ὁ αἴσωπος, ὤνησαί με, καὶ εἴ τις ἐστὶ
πίστις, πολλά σε ὠφελῆσαι οἷός τ' εἰμί. καὶ ὅς, τί δ' ἂν
ὀναίμην, στυγήματος ὄντος αὐτόχρημα; καὶ ὁ αἴσω-
πος, οὐ πάρεισί σοι παιδία οἴκοι ἀτακτοῦντα καὶ κλαί-
οντα; τούτοις ἐπίστησόν με παιδαγωγόν, καὶ πάντως
αὐτοῖς ἀντὶ μορμοῦς ἔσομαι. γελάσας οὖν ἐπὶ τούτῳ ὁ
ἔμπορος, φησὶ πρὸς ζηνᾶν, πόσου τὸ κακὸν τοῦτο πωλεῖς
ἀγγεῖον; ὁ δὲ τριῶν φησιν ὀβολῶν, ὁ δὲ ἔμπορος αὐτί-
κα τοὺς τρεῖς ὀβολοὺς κατεβάλλετο, λέγων, οὐδὲν κατε-
θέμην, καὶ οὐδὲν ἐπριάμην. ὁδευσάντων τοιγαροῦν καὶ

ἀφικο-

pum, & quod in eum haberet imperium ei renunciasset: ille, quodcunque uolenti tibi licet, inquit, effice. Forte uero cum uir quidam iumenta quæreret emere, & propterea per agrum illum iter faceret, & Zenam rogaret: ille iumentum non licet mihi, inquit, uendere, sed mancipium masculum, quod si uis emere, adest. cum uero mercator dixisset ostēdi sibi seruulum, & Zenas Aesopum accersisset, mercator uidens ipsum, & cachinnatus, unde tibi, inquit ad Zenam, hæc olla? utrū truncus est arboris, an homo? hic nisi uocē haberet fermè uideretur uter inflatus. Quare mihi iter rupisti huiusce piaculi gratia? His dictis, abijt suam uiam. Aesopus uero insequutus ipsum, Mane, inquit. Ille autem cōuersus, Abi, inquit, à me sordidissime canis. Et Aesopus: dic mihi cuius rei causa huc uenisti? Et mercator, Sceleste, ut aliquid boni emerē: tui quod inutilis & marcidus sis, non egeo. Et Aesopus, Eme me, & siqua est fides, multū te iuuare potis sum. Et ille, Qua in re à te iuuari possem, cū sis odium penitus? Et Aesopus, Nónne adsunt tibi pueruli domi turbulēti, & flentes? his præfice me pędagogum, omnino eis pro larua ero. Ridens igitur de hoc mercator, inquit Zenę, quanti malū hoc uendis uas? Ille uero, Tribus, inquit, obolis. Mercator autem statim tres obolos soluit, dicens, Nihil exposui, & nihil emi. Cum igitur iter fecisset, ac

perue

ἀφικομένων αὐτῶν οἴκαδε, παιδάρια δύο ἔτι ὑπὸ μητρὶ τελοῦντα, τὸν αἴσωπον ἰδόντα καὶ συγχυθέντα ἀνέκραξε. καὶ ὁ αἴσωπος εὐθὺς τῷ ἐμπόρῳ φησίν, ἔχεις μου τῆς ἐπαγγελίας ἀπόδειξιν. ὁ δὲ γελάσας, εἰσελθὼν φησιν, ἄσπασαι τοὺς συνδούλους σου. τὸν δὲ εἰσελθόντα καὶ ἀσπασάμενον ἰδόντες ἐκεῖνοι, τί ποτε ἄρα κακὸν τῷ ἡμῶν δεσπότῃ φασὶ συμβέβηκεν, ὅτι σωμάτιον αἰσχρὸν οὕτως ἐπρίατο; ἀλλ' ὡς ἔοικεν, ἀντὶ βασκανίου τῆς οἰκίας ὠνήσατο. μετὰ δ' οὐ πολὺ καὶ ὁ ἔμπορος εἰσελθὼν, τὰ πρὸς ὁδὸν εὐτρεπισθῆναι τοῖς δούλοις ἐπέσκηψε, μέλλειν γὰρ τὴν ἐπιοῦσαν εἰς ἀσίαν πορεύεσθαι. οἱ μὲν οὖν αὐτίκα τὰ σκεύη διεμερίζοντο. ὁ δ' αἴσωπος ἐδεῖτο τοῦ κουφοτάτου τῶν φορτίων αὐτῷ παραχωρεῖν, ἅτε δὴ νεωνήτῳ, καὶ μήπω πρὸς τὰς τοιαύτας ὑπουργίας γεγυμνασμένῳ. τῶν δὲ, καὶ εἰ μηδὲν ἆραι βούλεται συγγνώμην παρεχομένων, ἐκεῖνος οὐ δεῖν ἔλεγε, πάντων κοπιώντων αὐτὸν μόνον ἀσυντελῆ τυγχάνειν. τῶν δὲ ὅπερ ἂν ἆραι βούλεται ἐπιτρεπόντων, δεῦρο κἀκεῖσε περιβλεψάμενος, καὶ σκεύη ἀθροίσας διάφορα, σάκκους, καὶ στρώματα καὶ γυργάθους, ἕνα γύργαθον ἄρτων πεπληρωμένον, ὃν δύο βαστάζειν ἔμελλον, αὐτῷ ἐπιθεῖναι κελεύει. οἱ δὲ γελάσαντες, καὶ μηδὲν εἶναι μωρότερον τοῦ χυδαίου τούτου καθάρματος φάμενοι, ὃς μικρῷ μὲν ἔμπροσθεν τὸ κουφότατον ἐδεῖτο ἆραι τῶν φορτίων, νῦν δὲ τὸ πάντων βαρύτατον εἵλετο, χρῆναι μὲν δὴ τὴν ἐπιθυμίαν αὐτοῦ πληρῶσαι, ὑπολαβόντες τὸν γύργαθον, ἐπιτιθέασι τῷ αἰσώπῳ. ὁ δὲ κατὰ τῶν ὤμων τὸ φορτίον ἀπηχθισμένος, δεῦρο κἀκεῖσε διεκλονεῖτο. τὸν

δὲ

peruenissent in suam domum, pueruli duo qui adhuc sub matre erant, Aesopo uiso perturbati exclamauerunt. Et Aesopus statim mercatori inquit, Habes meæ pollicationis probationem. Ille uero ridens ingressus inquit, Saluta conseruos tuos. Introgressum autẽ, ac salutantem uidentes illi, Quodnam malum nostro hero, inquiunt, contigit, ut seruulum deformem adeo emerit? sed ut uidetur pro fascino domus hunc emit. Non multo uero post & mercator ingressus apparari res ad iter seruis iussit, quod postridie in Asiam profecturus esset. Illi igitur statim uasa distribuebant. at Aesopus rogabat leuissimnm onus sibi cõcedi, tanquam nuper empto & nondum ad hæc ministeria exercitiato. His autem & si nihil tollere uelit ueniã præbentibus, ille non oportere dixit, omnibus laborantibus se solum inutilem esse. His quod at tollere uellet permittentibus, huc & illuc cum circumspexisset, & uasa congregasset diuersa, saccos & stramenta & canistros, unum canistrum panis plenum, quem duo baiulare debebant, sibi imponi iubet. Illi autem ridentes, & nihil esse stultius uili hoc scelesto inquientes, qui paulo ante leuissimũ rogabat tollere onus, nunc omnium grauissimum elegit, oportere tamen desiderium eius explere, sublatum canistrum imposuerunt Aesopo. Ille uero humeris onere grauatis huc & illuc dimouebatur. Hũc

δὲ ἰδὼν ὁ ἔμπορος, ἀπεθαύμασεν, καὶ φησίν. αἴσωπος εἰς τὸ πονεῖν πρόθυμος ὤν, ἤδη τὴν ἑαυτοῦ τιμὴν ἐξέτισε, κτήνους γὰρ φόρτον ἤρατο. ἐπεὶ δὲ ὥρας τοῦ ἀρίστου κατέλυσαν, αἴσωπος κελευσθεὶς ἀρτοδοτῆσαι, ἡμιδεᾶ τὸν γύργαθον πολλῶν φαγόντων ἐποίησεν. ὅθεν καὶ μετὰ τὸ ἄριστον κουφοτέρου τοῦ φορτίου γεγονότος, προθυμότερον ὥδευε. καὶ δὴ καὶ ἑσπέρας οὗ κατήχθησαν πάλιν ἀρτοδοτήσας τῇ ἐφεξῆς ἡμέρᾳ κενὸν παντάπασιν ἐπὶ τῶν ὤμων ἀνέχων τὸν γύργαθον, πρῶτος ἁπάντων ἤει, ὡς καὶ τοῖς συνδούλοις, προτρέχοντα πόῤῥωθεν ὁρῶσιν ἀμφίβολα γίνεσθαι, πότερον ὁ σφέτερος ἐστὶν αἴσωπος, ἤ τις ἕτερος, καὶ καταμαθοῦσιν ἐκεῖνον εἶναι, θαυμάζειν ὅπως τὸ μεμελανωμένον ἀνθρώπιον, νουνεχέστερα πάντων ἔπραξε, τοὺς ῥᾳδίως δαπανωμένους ἄρτους ἀράμενον, ἐκείνων τὰ στρώματα καὶ τὰ λοιπὰ τῶν σκευῶν ὑποφορτισαμένων, ἃ μὴ φύσιν ἔλαχεν οὑτωσὶ δαπανᾶσθαι. ὁ μὲν οὖν ἔμπορος ἐπὶ τῇ ἐφέσῳ γενόμενος, τὰ μὲν ἄλλα τῶν ἀνδραπόδων σὺν κέρδει ἀπέδοτο, ὑπελείφθη δ' αὐτῷ τρία, γραμματικός, ψάλτης, καὶ ὁ αἴσωπος. τῶν δέ τις αὐτοῦ συνήθων συμβουλεύσας εἰς σάμον ἀπᾶραι, ὡς ἐκεῖ δὴ σὺν μείζονι κέρδει ἀπεμπωλήσοντι τὰ σωμάτια, πείθει. καὶ ὁ ἔμπορος ἐπιβὰς τῆς σάμου, τὸν μὲν γραμματικὸν σὺν τῷ ψάλτῃ καινὰς στολὰς ἀμφιέσας, ἵστησιν ἄμφω ἐπὶ τοῦ πρατηρίου. τὸν δ' αἴσωπον, ἐπεὶ μηδαμόθεν εἶχε κοσμῆσαι, ὅλος γὰρ ἦν ἁμάρτημα, ἐσθῆτα σάκκου τούτῳ περικαθάψας, μέσον ἀμφοῖν ἔστησεν, ὡς καὶ τοὺς ὁρῶντας ἐξίστασθαι λέγοντας, πόθεν τοῦτο τὸ βδέλυγμα, τὸ καὶ τοὺς ἄλλους ἀφανίζον; αἴσωπος

δὲ

uidēs mercator, admiratus est, & inquit: Aesopus cum ad laborandū prōptus sit, iam suū pretiū persoluit, iumenti enim onus sustulit. Cum uero hora prandij diuertissent, Aesopus iussus panes dispēsare, semiuacuū canistrū multis cō edentibus fecit. unde etiam post prandiū leuiore onere facto alacrius incedebat. Verū uespere quoq; illic, quò diuerterant pane distributo, postera die uacuo omnino humeris sublato canistro, primus omniū ibat, ut & conseruis præcurrentē hunc uidentibus dubiū faceret utrū putridus esset Aesopus, an quis alius. Et cū cognouissent illū esse, admirabant̃, q̄ denigratus homūcio solertius omnibus fecerit, quoniam qui facile absumerētur panes, sustulit, cum illi stramēta, & reliquā supellectilē baiularēt, quæ non est sortita naturā, ut sic absumeret̃. Mercator itaq; cū esset Ephesi, alia quidē mācipia cū lucro uēdidit. remanserunt aūt ei tria, grāmaticus, cātor, & Aesopus. Cū uero quidā ex familiaribus ei suasisset, in Samū ut nauigaret, tanq̄ ibi cum maiore lucro diuēdituro seruulos, persuadet. Et mercator cū peruenisset in Samum, grammaticū quidē & cantorē, utrūq; noua ueste indutū statuit in foro, sed Aesopū qm̄ necū de poterat ornare (totus em̄ erat mēdosus) ueste ex sacco ei circūposita, mediū inter utrūq; cōstituit, ut & uidētes stuperēt, dicentes; unde hæc abomiatio, quę et alios obscurat? Aesopus

 autem

δὲ, καίπερ ὑπὸ πολλῶν σκωπτόμενος, ἵστατο μέν τοι τολμηρὰ πρὸς αὐτοὺς ἀτενίζων. ξάνθος δὲ ὁ φιλόσοφος εἷς τῶν ἐνοικούντων ὢν τηνικαῦτα τῇ σάμῳ, προελθὼν ἐπὶ τὴν ἀγορὰν, καὶ θεασάμενος τοὺς μὲν δύο παῖδας σὺν εὐπρεπείᾳ παρεσταμένους, μέσον δὲ τούτων τὸν αἴσωπον, ἠγάσατο τὴν τοῦ ἐμπόρου ἐπίνοιαν, ὅπως τὸν αἰσχρὸν ἐν τῷ μεταξὺ τέταχεν, ὡς τῇ παραθέσει τοῦ δυσειδοῦς, καλλίους ἑαυτῶν τοὺς νεανίας φανῶσι. ἐγγυτέρω δ' ἐπιστὰς, ἐπύθετο τοῦ ψάλτου, πόθεν ἂν εἴη. καὶ ὃς, καππαδόκης. καὶ ὁ ξάνθος, τί οὖν οἶδας ποιεῖν; ὁ δὲ, πάντα. καὶ ἐπὶ τούτοις αἴσωπος ἐξεγέλασε. τῶν δὲ σχολαστικῶν, οἳ τῷ ξάνθῳ συνῆσαν, ὡς εἶδον αὐτὸν γελάσαντα καὶ παραφήναντα τοὺς ὀδόντας ἐξαίφνης, καί τι τέρας ὁρᾶν δοξάντων, καὶ τοῦ μὲν, ἢ που κήλη ἐστὶν ὀδόντας ἔχουσα λέγοντος, τοῦ δὲ, τί ποτε ἄρα ἰδὼν ἐγέλασε; τοῦ δ' ὡς οὐκ ἐγέλασεν, ἀλλ' ἐρρίγωσε. πάντων δὲ βουλομένων γνῶναι τίς ποτε ἦν ὁ γέλως, εἷς τις αὐτῶν προσελθὼν τῷ αἰσώπῳ φησὶν, ὅτου χάριν ἐγέλασας; καὶ ὃς, ἀποχώρει θαλάττιον πρόβατον. τοῦ δὲ, ἀμηχανήσαντος τοῖς ὅλοις ἐπὶ τῷ λόγῳ. κἀκ τοῦ εὐθέως ἀναχωρήσαντος, ὁ ξάνθος τῷ ἐμπόρῳ φησί, πόσου τιμήματος ὁ ψάλτης; τοῦ δὲ, χιλίων ὀβολῶν ἀποκριναμένου, πρὸς τὸν ἕτερον ἦλθεν, ὑπερβάλλον ἀκούσας τὸ τίμημα. καὶ μέντοι καὶ τοῦτον ἐρομένου τοῦ φιλοσόφου, πόθεν ἂν εἴη, καὶ ἀκούσαντος ὅτι λυδὸς, καὶ ἐπανερομένου, τί οὖν οἶδας ποιεῖν; κἀκείνου φαμένου πάντα. πάλιν ἐγέλασεν αἴσωπος. τῶν σχολαστικῶν δέ τινος ἀπορουμένου, τί δή ποτε οὗτος πρὸς πάντας γελᾷ; ἕτερος πρὸς αὐτὸν εἶπεν, εἰ βούλει καὶ σὺ θαλάττιος τρά-

γος

autem quamuis à multis morderetur, ſtabat ta men audacter ad ipſos intuens. Xanthus uero philoſophus habitans tunc Sami, profectus in forum, & uidens duos quidem pueros cum or natu aſtantes, medium uero horum Aeſopum, admiratus eſt mercatoris commentū, quod tur pem in medio collocauerat, ut appoſitione de formis pulchriores ſeipſis adoleſcentuli appa rerent. Propius aūt aſtans percontatus eſt can torem, cuiâs eſſet. & is, Cappadox. tum Xan thus, quid igitur ſcis facere? hic, omnia. atq; ad hæc Aeſopus riſit. Sed diſcipulis qui cum Xan tho unà erant, ut uiderūt ipſum riſiſſe, & oſten diſſe dentes ſtatim, & aliquod monſtrū uidere arbitrātibus: & uno, certe hernia eſt, dentes ha bens dicēte: alio uero, quid nā uidēs riſit? alio, non riſiſſe, ſed riguiſſe: omnibus autē uolenti bus cognoſcere cur riſiſſet, unus ipſorum acce dens Aeſopo inquit, Cuius rei gratia riſiſti? Et is, Abſcede marina ouis. Illo uero cōfuſo fundi tus eo ſermone, repenteq; ſecedente, Xanthus inquit mercatori: quāto pretio cantor? illo aūt mille obolorū reſpondente, ad alterum iuit, im menſo audito pretio. atqui & hunc rogitante philoſopho, cuiâs nam foret, & audito Lydum eſſe, rurſuſq; rogāte, qd ergo ſcis facere? & illo dicente, omnia: iterū riſit Aeſopus. Ex ſchola ſticis aūt quodā dubitāte, quid nam hic ad om nes ridet? alius ei dixit: ſi uis & tu marinus hir

γος ἀκοῦσαι ἐρώτησιν. ὁ δὲ ξάνθος, καὶ αὖθις ἤρετο τὸν ἔμπορον, πόσου τιμήματος ὁ γραμματικός; κἀκείνου τρισχιλίων ὀβολῶν ἀποκειναμένου, δυσφόρως ὁ φιλόσοφος ἤνεγκε τὴν ὑπερβολὴν τοῦ τιμήματος. καὶ στραφεὶς ἀπῄει. τῶν δὲ σχολαστικῶν ἐρομένων, εἰ μὴ ἤρεσεν αὐτῷ τὰ σωμάτια. ναί φησιν, ἀλλὰ δόγμα κεῖται, μὴ ἀνδράποδα ὠνεῖσθαι τῶν πολυτίμων. ἑνὸς δὲ τούτων φαμένου, ἀλλ' εἰ ταῦθ' οὕτως ἔχει, τὸν γοῦν αἰσχρὸν τοῦτον οὐδεὶς νόμος ἐμποδὼν ἵσταται μὴ ὠνήσασθαι. τὴν αὐτὴν γὰρ καὶ οὗτος λειτουργίαν εἰσοίσει. καὶ ἡμεῖς τὸ τίμημα τούτου καταθησόμεθα. ὁ ξάνθος ἔφη, ἀλλὰ γελοῖον ἂν εἴη ὑμᾶς ἐκτῖσαι τὸ τίμημα, ἐμὲ δὲ τὸν δοῦλον ὠνήσασθαι, ἄλλως τε, καὶ τὸ γύναιόν μου καθάρειον ὂν, οὐκ ἂν ἀνάσχοιτο ὑπὸ αἰσχροῦ σωματίου ὑπηρετεῖσθαι. τῶν δὲ σχολαστικῶν αὖθις εἰπόντων, ἀλλ' ἔγνως ἡ γνώμη, ἐστὶ τὸ μὴ πείθεσθαι γυναικί. ὁ φιλόσοφος εἶπε, λάβωμεν πρότερον πεῖραν, εἰ οἶδέ τι, μή πως καὶ τὸ τίμημα μάτην ἀπόληται. προσελθὼν γοῦν τῷ αἰσώπῳ, χαῖρε φησί. καὶ ὅς, μὴ γὰρ ἐλυπούμην; καὶ ὁ ξάνθος, ἀσπάζομαί σε. κἀκεῖνος, κἀγώ σε. καὶ ὁ ξάνθος, ἅμα τοῖς ἄλλοις ἐπὶ τῷ παραλόγῳ καὶ ἑτοίμῳ τῆς ἀποκρίσεως ἐκπλαγείς, ἤρετο, ποταπὸς εἶ; ὁ δὲ, μέλας φησί. καὶ ὁ ξάνθος, οὐ τοῦτό φημι, ἀλλὰ πόθεν γεγένησαι. καὶ ὅς, ἐκ τῆς γαστρὸς τῆς μητρός μου. καὶ ὁ ξάνθος, οὐ τοῦτο λέγω, ἀλλ' ἐν ποίῳ τόπῳ γεγένησαι. κἀκεῖνος, οὐκ ἀνήγγειλέ μοι ἡ μήτηρ μου, πότερον ἐν ἀνώγεω, ἢ κατώγεω. καὶ ὁ φιλόσοφος, τί δὲ πράττειν ἐπίστασαι; κἀκεῖνος, οὐδὲ ἕν. καὶ ὁ ξάνθος, τίνα τρόπον; ὁ δὲ, ἐπειδὴ περ οὗτοι πάντα ἐπίστασθαι ἐπηγγείλαντο, ἐμοὶ δὲ κατέλιπον οὐδὲ ἕν. καὶ ἐπὶ τούτοις οἱ

σχολα

cus uocari, roga. Xanthus aũt & rurſus rogauit mercatorẽ, quãto pretio grammaticus? & illo tribus milibus obolorum reſpondente ęgre philoſophus tulit immẽſum pretiũ, & auerſus diſcedebat. Scholaſticis aũt petentibus, an nõ placuerint ei ſeruuli: næ, inquit, ſed decretũ eſt non emere mancipiũ pretioſum. uno aũt ipſorum dicente, ſed ſi hæc ita ſe habent, igitur turpis hic, nulla lex impedimento eſt, ne ematur: idem enim & hic miniſteriũ afferet, & nos pretium huius exponemus. Xanthus ait: ſed ridiculum eſſet, uos ſoluiſſe pretiũ, me aũt ſeruum emiſſe, alioqui & uxorcula mea munditiæ ſtudioſa, nõ ferret à deformi ſeruulo ſeruiri ſibi. At ſcholaſticis rurſus dicentibus. ſed prope eſt ſentẽtia, ne pareatur fœminæ. Philoſophus dixit, Faciamus prius periculũ an ſciat aliquid, ne & pretiũ incaſſum pereat. Adiens igitur Aeſopũ, gaude, inquit. Et ille: num nam triſtabar? Et Xãthus, Saluto te. Et ille, Et ego te. Et Xanthus unà cum alijs inexpectato & prompto reſponſo ſtupefactus, rogauit, cuiâs es? Ille niger. Et Xãthus: nõ hoc, inq̃, ſed unde natus ſis. Et is: ex uẽtre matris meę. Non hoc dico, ſed in quo loco natus ſis. Et ille: nõ renũciauit mihi mater mea, utrũ in ſublimi loco an in humili. Et philoſophus: quid uero facere noſti? Et ille: nihil. Et Xanthus: quomodo? Q̃m hi omnia noſſe profeſſi ſunt, mihi autẽ reliquerunt nihil. Atq; hęc

σχολαστικοὶ ὑπερφυῶς ἀγάμενοι, νὴ τὴν θείαν πρόνοιαν ἔφασαν, πάνυ καλῶς ἀπεκρίνατο. οὐδὲ γὰρ εἷς ἐστὶν ἄνθρωπος, ὃς ἂν πάντα εἰδείη. διὰ γὰρ ταῦτα δῆλα δὴ καὶ ἐγέλα. αὖθις οὖν ὁ ξάνθος φησί, βούλει πρίωμαί σε; καὶ ὁ αἴσωπος, ἐμοῦ πρὸς τοῦτο συμβούλου δέει; ὁπότερόν σοι δοκεῖ βέλτιον, ἢ πρίασθαι ἢ μή, ποίει. οὐδεὶς γὰρ οὐδὲν πρὸς βίαν ποιεῖ, τοῦτο παρὰ τῇ σῇ κεῖται γνώμῃ. κἂν μὲν βούλῃ, βαλαντίου θύραν ἀνοίξας, ἀργύριον ἀρίθμει. εἰ δὲ μή, μὴ σκῶπτε. πάλιν οὖν οἱ σχολαστικοὶ πρὸς ἀλλήλους ἔφασαν, νὴ τοὺς θεοὺς νενίκηκε τὸν καθηγητήν. τοῦ δὲ ξάνθου φήσαντος, ἐὰν πρίωμαί σε δραπετεῦσαι βουλήσῃ; γελάσας ὁ αἴσωπος ἔφη, τοῦτο εἰ βουλήσομαι πρᾶξαι, οὐ πάντως χρήσομαί σοι συμβούλῳ, ὃς δὴ καί συ μικρῷ πρόσθεν ἐμοί. καὶ ὁ ξάνθος, καλῶς μὲν λέγεις, ἀλλ' αἰσχρὸς εἶ. κἀκεῖνος. εἰς τὸν νοῦν ἀφορᾶν δεῖ φιλόσοφε, καὶ μὴ εἰς τὴν ὄψιν. τότε τῷ ἐμπόρῳ προσελθὼν ὁ ξάνθος φησί. πόσου τοῦτον πωλεῖς; καὶ ὅς, κερτομῆσαί με πάρει τὴν ἐμπορίαν, ὅτι τοὺς ἀξίους σου παῖδας ἀφεὶς, τὸν αἰσχρὸν τοῦτον εἵλου. θάτερον τῶν λοιπῶν ὤνησαι, τοῦτον δὲ πρόσδομα λάβε. καὶ ὁ ξάνθος, οὐ δῆτα, ἀλλὰ τοῦτον. καὶ ὁ ἔμπορος, ἑξήκοντα ὀβολῶν ὤνησαι. καὶ οἱ μὲν σχολαστικοὶ παραχρῆμα συνεισενεγκόντες, κατέθεντο. ὁ δὲ ξάνθος ἐκτήσατο. οἱ τοίνυν τελῶναι τὴν πρᾶσιν μεμαθηκότες παρῆσαν ἀνακρίνοντες, τίς μὲν ὁ ἀπεμπωλήσας, τίς δ' ὁ πριάμενος. αἰσχυνομένων δ' ἀμφοτέρων ἑαυτοὺς ἀνειπεῖν διὰ τὸ πενιχρὸν τοῦ τιμήματος, ὁ αἴσωπος στὰς εἰς τὸ μέσον ἀνέκραξεν. ὁ μὲν πραθείς, ἐγώ. ὁ πριάμενος δ' οὑτοσί, καὶ ὁ πωλήσας ἐκεινοσί. εἰ δ' αὐτοὶ σιωπῶσιν, ἐγὼ ἄρα ἐλεύθερός

εἰμι

ſcholaſtici uehemẽter admirati,per diuinã pro uidentiã dixerũt, Valde bene reſpondit:nullus enim eſt homo, qui omnia norit: & propterea ſcilicet & riſit. Rurſus igitur Xanthus inquit, Vis emam te?Et Aeſopus, Me hac in re conſul tore eges? utrũ tibi uidetur melius, aut emere aut nõ,fac. Nullus enim quidq; ui facit:hoc in tua poſitũ eſt uolũtate.& ſi uolueris,crumenæ ianuam aperiens,argentũ numera.ſin uero mi nime,ne cauillare.Rurſus igiť ſcholaſtici inter ſe dixerunt, Per deos ſuperauit præceptorem. Xãthus uero cũ dixiſſet,ſi emero te, fugere uo-les? ridens Aeſopus ait: hoc ſi uoluero facere, nullo modo utar te cõſultore,ut & tu paulo an te,me.& Xanthus:bene dicis,ſed deformis es. & ille: mẽtẽ inſpicere oportet,ô philoſophe,& nõ faciẽ. tunc mercatorẽ adiens Xãthus, inqt: quãti hũc uẽdis?et ille:ut uituperes,ades, meas merces,qm̃ te dignos pueros dimittens,defor-mem hunc eligis.alterũ horũ eme,hunc aũt au ctariũ accipe.& Xanthus:nõ certe,ſed hũc. & mercator:ſexaginta obolis eme. & ſcholaſtici confeſtim collatos expoſuerunt. Xanthus aũt poſſedit. Itaq; publicani uenditiõe cognita,ad erant indagãtes,quis uẽdiderit, quis emerit.at cum puderet utrũq; ſe pronũciare propter uili tatẽ pretij, Aeſopus ſtãs in medio exclamauit, Qui uenditus eſt,ego ſum:qui emit,hic:qui uẽ didit ille: ſi uero ipſi tacuerint,ego igitur liber

 ſum

εἰμί. οἱ δὲ τελῶναι διαχυθέντες, ἐχαρίσαντό τι τοῦ ξάνθου τὸ τέλος, καὶ ἀπηλλάγησαν. ὁ μὲν οὖν αἴσωπος, ἠκολούθει πρὸς τὴν οἰκίαν ἀπιόντι τοῦ ξάνθου. μεσημβρινοῦ δὲ καύματος ὄντος, ὁ ξάνθος ἐν τῷ περιπατεῖν τὸν χιτῶνα ἀνασυράμενος οὔρει. ὅπερ ἰδὼν αἴσωπος, καὶ τῶν ἱματίων ἐκείνου δραξάμενος, ὄπισθεν, πρὸς ἑαυτὸν εἵλκυσε, καὶ φησί, τὴν ταχίστην με πώλησον, ἐπεὶ δραπετεύσω. καὶ ὁ ξάνθος, ἀνθ' ὅτου; ὅτι φησίν, οὐκ ἂν δυναίμην τοιούτῳ ὑπηρετεῖσθαι δεσπότῃ. εἰ γὰρ σὺ δεσπότης ὤν, καὶ μηδένα φοβούμενος, ὅμως ἄνεσιν οὐ παρέχεις τῇ φύσει, ἀλλὰ βαδίζων οὐρεῖς, εἰ τύχοι τὸν δοῦλον ἐμὲ πρός τινα σταλῆναι διακονίαν, κἂν τοῦ μεταξὺ τῆς πορείας ἴδιον δέῃ ἀπαιτῆσαι τὴν φύσιν, ἀνάγκη πάντως πετόμενόν με ἀποπατεῖν. καὶ ὁ ξάνθος, τοῦτό σε θορυβεῖ; τρία κακὰ βουλόμενος διαδρᾶναι, βαδίζων οὐρῶ. καὶ ὅς, ποῖα κἀκεῖνος, ἐστώ τί μοι, τὴν μὲν κεφαλὴν κατέκαυσεν ἂν ὁ ἥλιος, τοὺς δὲ πόδας τὸ τῆς γῆς ἔδαφος ὂν ἐκπεπυρωμένον, ἡ δὲ τοῦ οὔρου δριμύτης τὴν ὄσφρησιν ἂν ἐλυμήνατο. καὶ ὁ αἴσωπος, βάδιζε, πέπεικάς με. ἐπεὶ δὲ καὶ τῇ οἰκίᾳ ἐπέστησαν, ὁ ξάνθος παραγγείλας τοῦ αἰσώπῳ μένειν πρὸ τοῦ πυλῶνος, ἐπειδὴ καθάρειον ὂν αὐτοῦ τὸ γύναιον ᾔδει, καὶ οὐκ ἐχρῆν ἐξαπίνης τοιοῦτον αἶσχος αὐτῇ φανῆναι, πρίν τινα καὶ πρὸς αὐτὴν ἀστεΐσηται. αὐτὸς δ' εἰσελθών, λέγει, κυρία, οὐκέτι με τοὐντεῦθεν ὀνειδιεῖς τῆς θεραπείας, ἧς πρὸς τῶν θεραπαινίδων τῶν σῶν ἀπολαύω. ἤδη γὰρ κἀγὼ παῖδά σοι ἐπριάμην, ἐν ᾧ καὶ ὄψει κάλλος, οἷον οὔπω τεθέασαι, ὃς καὶ ἤδη πρὸ τοῦ πυλῶνος ἕστηκε. κἀκεῖνος μὲν ταῦτα. αἱ δέ γε θεραπαινίδες ἀληθῆ νομίσασαι τὰ

λεχθέντα

sum. Publicani uero diffusi risu, donato Xan-tho uectigali, abierunt. Aesopus igitur seque-batur in domum euntem Xanthũ. Cum meri-dianus aũt æstus esset, Xanthus inter deambu landum palliũ attollẽs mingebat: quod uidens Aesopus, uestibus illius prensis, retro ad seip-sum traxit, atq; inquit, q; celerrime me uende, quoniã fugiã. Et Xanthus, quãobrem? quoniã inquit, non possem tali seruire hero. si enim tu qui herus es & neminẽ times, tamen relaxatio nem non præbes naturæ, sed eundo mingis: si obtigerit seruum me ad aliquod mitti ministe-riũ, & inter eundũ tale quid exigat natura, ne-cesse omnino fuerit uolando cacare. Et Xan-thus: hoc te turbat? tria mala uolẽs euitare, eun do mingo. Et ille: quę? Et hic: stanti mihi caput perussisset sol, pedes uero terræ solũ torridum, lotij aũt acrimonia olfactum offendisset. Et Ae sopus: uade, persuasisti mihi. Postq; aũt domi fuerũt, Xanthus iubens Aesopo manere ante uestibulũ, quoniã elegantiusculã esse sibi mu-lierculã sciebat, neq; oportere ilico talẽ turpitu dinẽ ei ostendi, anteq; aliquis ipsi urbana dice ret: ipse aũt ingressus dicit: domina nõ etiã post hac obijcies ministeriũ, quod mihi tuæ pedisse quæ præstent. Iam eñ & ego puerum tibi emi, in quo uidebis pulchritudinẽ, qualẽ nunq; ui-disti, qui & iam ante uestibulũ stat. Et ille qui-dem hæc, pedissequæ aũt uera existimãtes quę

dicta

λεχθέντα πρὸς ἀλλήλας οὐκ ἀγνοῶν ἠμφισβήτουν πε-
ρὶ τοῦ, τούτων νυμφίος ὁ νεώνητος ἔσται. τῆς δὲ τοῦ ξάν-
θου γυναικὸς εἴσω κληθῆναι τὸν νεώνητον κελευσά-
σης, μία τῶν ἄλλων μᾶλλον ὀργῶσα, καὶ ὡς ἀῤῥαβῶνα
τὴν κλῆσιν ἁρπάσασα. τὸν νεώνητον ἐκδραμοῦσα ἐκά-
λει. κἀκείνου φαμένου, ἰδοὺ ἐγὼ πάρειμι. ἐκπλαγεῖ-
σα, σὺ φύσιν εἶ; καὶ ὅς. ναί. κἀκείνη, ἀβάσκαντε, μὴ εἰ-
σέλθῃς εἴσω, καὶ πάντες φύγωσι. καὶ μέντοι καὶ ἄλλης
ἐξελθούσης, καὶ ὡς εἶδεν αὐτόν, παταχθείσης φαμέ-
νης τὸ πρόσωπον, καὶ δεῦρο εἴσελθε, ἀλλὰ μὴ προσεγ-
γίσῃς μοι. εἰσελθὼν ἔστη ἀντικρὺ τῆς δεσποίνης. ἡ δὲ,
τοῦτον θεασαμένη, τὰς ὄψεις ἀπέστρεψε πρὸς τὸν ἄν-
δρα, φαμένη, πόθεν μοι τοῦτο τὸ τέρας ἤνεγκας; ἔκβα-
λε αὐτὸν τοῦ προσώπου μου. κἀκεῖνος, ἅλις σοὶ κυρία,
μὴ ἀπόσκωπτέ μου τὸν νεώνητον. ἡ δὲ, δῆλος εἶ ξάνθε
μισήσας με, ἑτέραν ἀγαγέσθαι βουλόμενος, καὶ ισως
αἰδούμενος φράσαι μοι, ὡς τῆς οἰκίας ἀναχωρήσω, τὸν
κυνοκέφαλόν μοι τοῦτον κεκόμικας, ὡς ἂν τὴν αὐτοῦ
δυσαναχετοῦσα λατρείαν, φύγω. δός οὖν μοι τὴν
προικά μου καὶ πορεύσομαι. πρὸς ταῦτα τοῦ ξάνθου
μεμψαμένου τὸν αἴσωπον, ὡς ἐπὶ μὲν τὴν ὁδὸν ἀστεῖά
τινα φθεγξαμένου περὶ τῆς ἐν τῷ βαδίζειν οὐρήσεως, νυ-
νὶ δὲ πρὸς τὴν γυναῖκα μηδὲν λέγοντος, αἴσωπος ἔφη,
βάλε αὐτὴν εἰς τὸ βάραθρον, καὶ ὁ ξάνθος, παῦε κά-
θαρμα, ἢ οὐκ οἶδας ὅτι ταύτην ὡς ἐμαυτὸν στέργω; εἶτα ὁ αἴ-
σωπος, ἐρᾷς τοῦ γυναίου; κἀκεῖνος, πάνυ μὲν οὖν δρα-
πέτα. καὶ πρὸς τοῦτον αἴσωπος κροτήσας εἰς τὸ μέσον
τὸν πόδα, μεγάλως ἀνέκραξε, ξάνθος ὁ φιλόσοφος
γυναικοκρατεῖται, καὶ στραφεὶς πρὸς τὴν αὐτοῦ δέ-

σποιναν

dicta fuerant, inter se non mediocriter cōtende bant, cuinam ipsarū sponsus nuper emptus futurus sit. Xanthi uero uxore intro uocari noui tium iubente mācipium, una ex alijs magis accelerans, & ut arabonē uocationem arripiens, nouitiū seruū egressa accersebat. Et illo dicente: ecce ego adsum, stupefacta, tu, inquit, es? Et hic, ne. Et illa, Sine inuidia, ne ingrediaris intro, & omnes fugiant. Et tamen & alia egressa ac ut uidit ipsum, cædatur tua dicēte facies, & huc ingredere, sed ne appropinques mihi: Ingressus stetit coram domina, quæ cum eum ui disset, oculos auertit ad uirum, inquiens, unde mihi hoc monstrū attulisti? abijce ipsum à facie mea. Et ille, Satis tibi domina, ne meū submorde nouitiū seruum. Hæc autē: uideris Xanthe osus me, aliā inducere uelle, & fortè dū pudet dicere mihi, ut tua domo abscedā canicipitem mihi hunc apportasti, ut eius ægre latura ministeriū, fugiā. da igitur mihi dotem meam, atq; ibo. Ad hæc Xantho increpāte Aesopū tanq; in itinere urbana quædā locutū de mictu inter eundū, nunc uero mulieri nihil dicentē, Aesopus ait, Proijce ipsam in barathrū. Et Xāthus, Tace scelus, an nescis me hanc, ut meipsum, amare? Et Aesopus, Amas mulierculam? Et ille, Admodū quidem fugitiue. Et ad hoc Aesopus pulsato medio pede ualde exclamauit: Xāthus philosophus uxorius est. & uersus ad suam do

ποιναν ἔφη. σὺ ὦ δέσποινα ἐβούλου τὸν φιλόσοφον ὠνήσασθαί σοι δοῦλον, νέον, εὐσωματοῦντα, σφριγῶντα, ὃν ἔδει γυμνὴν σὲ καὶ τῷ βαλανείῳ θεᾶσθαι, καί σοι προσπαίζειν τὰ εἰς αἰσχύνην τοῦ φιλοσόφου. εὐριπίδη, χρυσοῦν ἐγώ σου φημὶ τὸ στόμα, τοιαῦτα λέγον. πολλαὶ μὲν ὀργαὶ κυμάτων θαλαττίων, πολλαὶ δὲ ποταμῶν, καὶ πυρὸς θερμοῦ πνοαί. δεινὸν δὲ πενία, δεινὰ δ' ἄλλα μυρία, πλὴν οὐδὲν οὕτω δεινὸν, ὡς γυνὴ κακή. σὺ δ' ὦ δέσποινα φιλοσόφου γυνὴ οὖσα, ὑπὸ καλῶν νεανίσκων ὑπηρετεῖσθαι μὴ θέλε, μή πως ὕβριν τῷ ἀνδρί σου προστρίψῃς. ἡ δὲ ταῦτα ἀκούσασα, καὶ πρὸς μηδὲν ἀντειπεῖν δυνηθεῖσα, πόθεν ἄνερ φησὶ τὸ κάλλος τοῦτο τεθήρακας; ἀλλὰ καὶ λάλος ὁ σαπρὸς οὗτος φαίνεται, καὶ εὐτράπελος. διαλλαγήσομαι τοίνυν αὐτῷ. καὶ ὁ ξάνθος, αἴσωπε, διήλλακταί σοι ἡ σὴ δέσποινα. καὶ ὁ αἴσωπος εἰρωνευσάμενος, μέγα τι χρῆμά φησι τὸ πραῧναι γυναῖκα. καὶ ὁ ξάνθος, σιώπα τοὐντεῦθεν. ὠνησάμην γάρ σε εἰς δουλείαν, οὐκ εἰς ἀντιλογίαν. τῇ δ' ὑστεραίᾳ ξάνθος ἕπεσθαι τῷ αἰσώπῳ κελεύσας, πρός τινα τῶν κήπων ἧκεν ὠνησόμενος λάχανα. τοῦ δὲ κηπωροῦ δέσμην λαχάνων θερίσαντος, ἀνείληφεν αἴσωπος. τοῦ δὲ ξάνθου μέλλοντος ἤδη τῷ κηπωρῷ καταβάλλειν τὸ κέρμα, ὁ κηπωρὸς ἔα κύριε, φησιν, ἑνὸς προβλήματος παρὰ σοῦ δέομαι. καὶ ὁ ξάνθος, τίνος; καὶ ὅς, τί δήποτε τὰ μὲν παρ' ἐμοῦ φυτευόμενα τῶν λαχάνων, καίπερ ἐπιμελῶς σκαλιζόμενά τε καὶ ἀρδευόμενα, βραδεῖαν ὅμως ποιεῖται τὴν αὔξησιν. οἷς δ' αὐτομάτη ἐκ γῆς ἡ ἀνάδοσις, καί τοι μηδεμιᾶς ἐπιμελείας ἀξιουμένοις, τούτοις ὀξυτέρα ἡ βλάστησις. ὁ μὲν

οὖν

minam, ait, Tu ò domina uelles philosophum emisse tibi seruũ iuuenem, bono habitu, uigentem, qui te nudã in balneo spectaret, & tecum luderet in dedecus philosophi? O Euripides, aureũ ego tuum inquam os, talia dicens, Multi impetus fluctuũ marinonũ. multi fluminum, & ignis calidi flatus, dura res paupertas, dura & alia infinita, tamen nihil æque durũ ut mulier mala. Tu uero ô domina philosophi uxor à pulchris adulescẽtulis seruiri tibi noli, ne quo pacto cõtumeliam uiro tuo inflixeris. Illa hæc audiens, cum nihil contradicere posset, Vnde uir, inquit, pulchritudinẽ hanc uenatus es? sed & loquax putridus hic uidetur, et facetus, recõciliabor igitur ei. Tum Xanthus, Aesope, recõciliata est tibi tua hera. & Aesopus ironice loquens, Magna res, inquit, placare mulierẽ. Et Xãthus, Tace posthac, emi enim te ad seruiendum, nõ ad cõtradicendũ. Postera die Xãthus Aesopo sequi iusso, ad hortũ quendam iuit empturus olera. cum uero olitor fasciculum olerũ messuisset, accepit Aesopus. Xantho autẽ soluturo iam hortulano pecuniã, hortulanus, dimitte domine, inquit, unũ problema à te desidero. & Xãthus, quid nã? tum ille: quid ita quæ à me plantantur olera, quãuis diligẽter & fordiãtur & irrigẽtur, tardũ tamẽ suscipiũt incrementũ: quibus uero spontanea è terra pullulatio, & si nulla cura adhibetũ, ijs tamen celerior germinatio?
Xanthus

οὖν ξάνθος, καί τι φιλοσόφου περὶ ζητήσεως ἔσης, μη-
δ' ἐγὼ ἕτερον συννοήσας εἰπεῖν, τῇ θείᾳ προνοίᾳ καὶ τοῦτο
πρὸς τοῖς ἄλλοις διοικεῖσθαί φησιν. ὁ δ' αἴσωπος. πα-
ρὼν γὰρ. ἐγέλασε. καὶ πρὸς αὐτὸν ὁ φιλόσοφος, πότε-
ρον γελᾷς. ἢ καταγελᾷς; καὶ ὁ αἴσωπος, καταγελῶ
φησιν, ἀλλ' οὐ σοῦ, τοῦ δὲ διδάξαντός σε. ἃ γὰρ ὑπὸ θεί-
ας προνοίας γίνεται, ταῦθ' ὑπὸ σοφῶν ἀνδρῶν τυγ-
χάνει τῆς λύσεως. πρόβαλοῦ τοίνυν ἐμὲ, κἀγὼ λύσω
τὸ πρόβλημα. ἐν τούτῳ τοίνυν ὁ ξάνθος ἐπιστραφεὶς,
λέγει τῷ κηπωρῷ. ἥκιστα πάντων εὐπρεπὲς ἐστὶν ὦ
τᾶν, ἐμὲ τὸν ἐν τοσούτοις ἀκροατηρίοις διαλεχθέντα, τὰ
νῦν ἐν κήπῳ λύειν σοφίσματα. παῖς δέ μου οὑτοσὶ-
πολλῶν πεῖραν ἔχων ἀκολουθίας, τούτῳ προσαναθέ-
μενος, περὶ λύσεως τεύξῃ τοῦ ζητουμένου. καὶ ὁ κηπωρὸς,
οὗτος ὁ αἰσχρὸς γράμματα εἶδεν; οἴμοι τῆς δυστυχίας.
ἀλλὰ φράσον ὦ λῷστε, εἰ τοῦ ζητουμένου τὴν διασάφησιν
ἔγνωκας. καὶ ὁ αἴσωπος, ἡ γυνή φησιν ἐπειδὰν πρὸς
δεύτερον γάμον ἔλθῃ, τέκνα ἐκ τοῦ προτέρου ἀνδρὸς
ἔχουσα, εἶτα εὕροι καὶ τὸν ἄνδρα, τέκνα ἐκ τῆς προτέ-
ρας γυναικὸς τεκνοποιησάμενον, ἃ μὲν αὐτὴ τέκνα
ἐπηγάγετο, τούτων μήτηρ ἐστὶν. ἃ δ' εὗρεν ἐν τῷ ἀν-
δρὶ, τούτων ἐστὶ μητρυιά. πολλὴν οὖν ἐν ἑκατέροις ἐν-
δείκνυται τὴν διαφοράν. τὰ μὲν γὰρ ἐξ αὐτῆς, φιλο-
στόργως καὶ ἐπιμελῶς τρέφουσα διαγίνεται. τὰ δ' ἐξ
ἀλλοτρίων ὠδίνων, μισεῖ, καὶ ζηλοτυπίᾳ χρωμένη, τὴν
ἐκείνων τροφὴν περικόπτουσα, τοῖς ἑαυτῆς προστίθεται
τέκνοις. τὰ μὲν γὰρ, φύσει ὡς οἰκεῖα φιλεῖ, ἀποστρέφει δὲ
τὰ τοῦ ἀνδρὸς ὡς ἀλλότρια. τὸν ἴσον δὴ καὶ ἡ γῆ τρό-
πον, τῶν μὲν αὐτομάτως ἐξ αὐτῆς φυομένων, μήτηρ

Xanthus igitur, licet philosophi quęstio foret, cum nihil aliud sciret dicere, à diuina prouidẽtia & hoc inter cætera gubernari inquit. Aesopus uero (aderat enim) risit. Ad quem philosophus: rides'ne, an derides? & Aesopus: derideo inquit, sed non te, uerũ qui te docuit. quæ em̃ à diuina prouidentia fiunt, hæc à sapiẽtibus uiris solutionem sortiuntur. oppone itaq; me, & ego soluam problema. Interim itaq; Xanthus conuersus inquit olitori: minime omnium decens est, ô amice, me qui in tantis auditorijs disceptauerim, nũc in horto soluere sophismata. Puero autem huic meo, qui consequentia multorum callet, si proposueris, solutionem consequeris quæsiti. Et olitor, Hic turpis literas nouit: ô infelicitatem. Sed narra ô optime, si quæsiti declarationẽ nosti. Et Aesopus, Mulier, inquit, cum ad secundas nuptias iuerit, liberis ex priore uiro susceptis, si uirum quoq; inuenerit filios ex priore uxore genuisse, quos ipsa filios adduxit, horum mater est: quos inuenit penes uirum, horum est nouerca. Multam igitur in utrisq; ostendit differentiam. Nam quos ex se genuit, amãter & accurate nutrire perseuerat: alienos uero partus odit, & inuidia utens, illorum cibum diminuens, suis addit filijs: illos enim natura quasi proprios amat: odio autem habet qui uiri sunt, quasi alienos. Eodem modo & terra, eorum quæ ipsa ex se genuit, mater

ἐστιν. ἃ δ' αὐτὸς ἐμφυτεύεις, τούτων γίνεται μητρυιά.
οὐ χάριν, καὶ μᾶλλον ὡς γνήσια τὰ οἰκεῖα τρέφει καὶ
θάλπει. τοῖς δὲ παρὰ σοῦ φυτευομένοις, οὐ τοσαύτην ὡς νό-
θος τὴν τροφὴν νέμει. ἐπὶ τούτοις ἡσθεὶς ὁ κηπωρὸς πι-
στεύσαις ἄν μοί φησιν, ὅτι με ἀμηχάνου λύπης, καὶ ἀδο-
λεσχίας ἐκούφισας. ἄπιθι τοίνυν φέρων τὰ λάχανα.
καὶ ὁσάκις σοι τούτων δεῖ, ὡς εἰς οἰκεῖον κῆπον βαδίζων
λάμβανε. μεθ' ἡμέρας δὲ πάλιν εἰς τὸ βαλανεῖον ἐλ-
θόντος τοῦ ξάνθου, καί τισιν ἐντυχόντος ἐκεῖ τῶν φί-
λων, καὶ πρὸς τὸν αἴσωπον εἰρηκότος, εἰς τὴν οἰκί-
αν προσδραμεῖν, καὶ φακῆν εἰς τὴν χύτραν ἐμβαλόν-
τα ἑψῆσαι, ἐκεῖνος ἀπελθὼν, κόκκον ἕνα φακῆς εἰς
τὴν χύτραν ἕψει βαλών. ὁ δὲ δὴ ξάνθος ἅμα τοῖς φί-
λοις λουσάμενος, ἐκάλει τούτους συναριστήσοντας. προ-
εἶπε μέντοι καὶ ὡς λιτῶς, ἐπεὶ φακῆ γὰρ ἔσται τὸ δεῖ-
πνον. καὶ ὡς μὴ δεῖν τῇ ποικιλίᾳ τῶν ἐδεσμάτων τοὺς
φίλους κρίνειν, ἀλλὰ δοκιμάζειν τὴν προθυμίαν. τῶν
δὲ εἰξάντων, καὶ πρὸς τὴν οἰκίαν ἀφικομένων, ὁ ξάνθος
φησί, δὸς ἡμῖν ἀπὸ λουτροῦ πιεῖν αἴσωπε. τοῦ δ' ἐκ τῆς
ἀπορροίας τοῦ λουτροῦ λαβόντος καὶ ἐπιδεδωκότος, ὁ
ξάνθος τῆς δυσωδίας ἀναπλησθεὶς, φεῦ τί τοῦτό φησιν
αἴσωπε; καὶ ὃς, ἀπὸ λουτροῦ ὡς ἐκέλευσας. τοῦ δὲ ξάν-
θου τῇ παρουσίᾳ τῶν φίλων τὴν ὀργὴν ἐπισχόντος, καὶ
λεκάνην αὐτῷ παρατεθῆναι κελεύσαντος, αἴσωπος
τὴν λεκάνην θεὶς ἵστατο. καὶ ὁ ξάνθος, οὐ νίπτεις; κἀκεῖ-
νος, ἐντέταλταί μοι ταῦτα ποιεῖν, ὅσα ἂν ἐπιτάξῃς.
σὺ δὲ νῦν οὐκ εἶπας, βάλε ὕδωρ εἰς τὴν λεκάνην, καὶ
νίψον τοὺς πόδας μου, καὶ θὲς τὰς ἐμβάδας, καὶ ὅσα
ἐφεξῆς. πρὸς δὴ ταῦτα τοῖς φίλοις ὁ ξάνθος ἔφη. μὴ γὰρ

δοῦλον

est: quæ autem tu plantas, horum est nouerca. Huius rei gratia, quæ sua sunt, ut legitima magis nutrit, ac fouet: à te autem plantatis ut spurijs non tantum alimēti tribuit. His delectatus olitor, Credideris mihi, inquit, ꝙ me graui sollicitudine ac garrulitate leuaris. Abi gratis ferens olera, & quoties tibi his opus est, tanꝙ in proprium hortum uadens, accipe. Post dies aliquot rursus in balneū profecto Xantho, & quibusdam ibi amicis inuentis, & ad Aesopum loquuto, ut & in domū curreret, & lentem in ollam iniectam coqueret, ille abiēs granum unū lentis in ollam coquit iactū. Xāthus ergo unà cum amicis lotus uocauit hos compransuros, præfatus tamen & quod tenuis esset futura cœna, utpote ex lente, quodꝙ nō oporteret uarietate ferculorū amicos iudicare, sed probare uoluntatē. His uero profectis, & in domū ingressis, Xanthus inquit, Da nobis à balneo bibere Aesope. Illo uero ex defluxu balnei accipientē & tradēte, Xāthus fœtore repletus, Hem quid hoc, inqt, Aesope? Et ille, A balneo, ut iussisti. Xantho aūt præsentia amicorū iram cōpescente, & peluim sibi apponi iubēte, Aesopus peluī apposita stabat. Et Xanthus, non lauas? Tum ille, Iussum est mihi ea facere, quæ iusseris: tu nunc non dixisti, inijce aquā in peluim, & laua pedes meos, & pone soleas, & quæcunꝙ deinceps. Adhæc igitur amicis Xāthus ait, Nū em

δοῦλον ἐπριάμην, οὐκ ἔστιν ὅπως, ἀλλὰ διδάσκαλον. ἀνακλιθέντων γοῦν αὐτῶν, καὶ τοῦ Ξάνθου τὸν Αἴσωπον ἐρωτήσαντος, εἰ ἕψηται ἡ φακῆ, δοίδυκι λαβὼν ἐκεῖνος τὸν τῆς φακῆς κόκκον ἀνέδωκεν. ὁ δὲ Ξάνθος λαβὼν, καὶ οἰηθεὶς ἕνεκεν τοῦ πεῖραν λαβεῖν τῆς ἑψήσεως τὴν φακὴν δέξασθαι, τοῖς δακτύλοις διατρίψας ἔφη, καλῶς ἕψηται, κόμιζε. τοῦ δὲ μόνον τὸ ὕδωρ κενώσαντος ἐν τοῖς τρυβλίοις καὶ παραθέντος, Ξάνθος, ποῦ ἐστιν ἡ φακῆ φησι. καὶ ὅς, ἔλαβες αὐτήν. καὶ ὁ Ξάνθος, ἕνα κόκκον ἕψησας; καὶ ὁ Αἴσωπος, μάλιστα. φακὴν γὰρ ἑνικῶς, ἀλλ' οὐ φακὰς εἶπας, ὃ δὴ πληθυντικῶς λέγεται. ὁ μὲν οὖν Ξάνθος ἀπορήσας τοῖς ὅλοις, ἄνδρες ἑταῖροι ἔφη, οὗτος εἰς μανίαν με περιτρέψει. εἶτα στραφεὶς πρὸς τὸν Αἴσωπον εἶπεν, ἀλλ' ἵνα μὴ δόξω κακὲ δοῦλε τοῖς φίλοις ἐνυβρίζειν, ἀπελθὼν ὠνῆσαι πόδας χοιρείους τέτταρας, καὶ διὰ ταχέων ἑψήσας παράθες. τοῦ δὲ σπουδῇ τοῦτο ποιήσαντος, καὶ τῶν ποδῶν ἑψομένων, ὁ Ξάνθος εὐλόγως θέλων τύψαι τὸν Αἴσωπον, αὐτοῦ περί τι τῶν εἰς χρείαν ἀσχολουμένου, ἕνα τῶν ποδῶν ἐκ τῆς χύτρας λαθραίως ἀνελόμενος, ἔκρυψε. μετὰ μικρὸν δὲ καὶ ὁ Αἴσωπος ἐλθὼν, καὶ τὴν χύτραν ἐπισκεψάμενος, ὡς τοὺς τρεῖς μόνους πόδας ἑώρακεν, συνῆκε ἐπιβουλὴν αὐτῷ τινα γεγονυῖαν. καὶ δὴ καταδραμὼν ἐπὶ τὴν αὐλὴν καὶ τοῦ σιτευομένου χοίρου τὸν ἕνα τῶν ποδῶν τῇ μαχαίρᾳ περιελὼν, καὶ τῶν τριχῶν ψιλώσας, εἰς τὴν χύτραν ἔρριψε, καὶ συνέψει τοῖς ἄλλοις. Ξάνθος δὲ δείσας, μήπως Αἴσωπος τὸν ὑφαιρεθέντα τῶν ποδῶν οὐχ εὑρὼν ἀποδράσῃ, αὖθις εἰς τὴν χύτραν αὐτὸν ἐνέβαλε. τοῦ δ' Αἰσώπου τοὺς πόδας

εἰς τὸ

seruum emi? nullo modo, sed magistrum. Discumbentibus itaq; ipsis, & Xantho Aesopum rogante, an cocta sit lens, cochleari acceptũ ille lentis granum tradidit. Xanthus accipiens, ac ratus gratia faciendi periculum coctionis lentem accepisse, digitis conterens ait. Bene cocta est, affer. Illo solum aquam uacuante in scutellas, & apponẽte: Xanthus, ubi est lens? inquit. Et is, Accepisti ipsam. Et Xanthus, Vnum granum coxisti? Tum Aesopus, magnopere. lentem enim singulariter dixisti, non lentes, quod pluratiue dicitur. Xanthus ergo prorsus consilij inops, Viri socij, ait, hic ad insaniã me redíget. Deinde cõuersus ad Aesopum ait, Sed ne uidear improbe serue amicis iniurius, abiens eme pedes porcinos quatuor, & perceleriter coctos appone. Ab eo autem festine hoc facto ac dum pedes coquerentur, Xanthus iure uolens uerberare Aesopũ, cum esset in re aliqua ad usum occupatus, unum ex pedibus ex olla clanculum auferens, occulit. Paulo post autem & Aesopus ueniens, & ollam perscrutatus, ut tres solos pedes uidit, cognouit insidias sibi aliquas factas, & accurrens in stabulum, & saginati porci unum ex quatuor cultro amputans, & pilis nudans in ollam iecit, ac cõcoxit cum cæteris. Xãthus uero ueritus ne Aesopus subreptum pedem non inueniẽs, fugeret, rursus in ollam ipsum iniecit. Aesopo autẽ in patinam

εἰς τὸ τρυβλίον κενώσαντος, καὶ πέντε τούτων ἀναφανέντων, ὁ Ξάνθος, τί τοῦτό φησιν Αἴσωπε, πῶς πέντε; κἀκεῖνος, τὼ δύο χοίρω πόσους ἔχετον πόδας; καὶ ὁ Ξάνθος, ὀκτώ. καὶ ὁ Αἴσωπος, εἰσὶν οὖν ἐνταῦθοῖ πέντε καὶ ὁ σιτευόμενος χοῖρος νέμεται κάτω τρίπους. ὁ δὲ Ξάνθος πάνυ βαρέως ἔχων, πρὸς τοὺς φίλους φησί. οὐχὶ μικρῷ πρόσθεν εἶπον, ὡς τάχιστά με πρὸς μανίαν οὗτος περιτρέψει; καὶ ὁ Αἴσωπος, δέσποτα, οὐκ οἶσθ' ὅτι τὸ ἐκ προσθέσεώς τε καὶ ἀφαιρέσεως εἰς τὸ μέτρον λόγου ποσὸν συγκεφαλαιούμενον, οὐκ ἔστιν ἁμάρτημα; ὁ μὲν οὖν Ξάνθος μηδεμίαν αἰτίαν εὑρηκὼς μαστιγῶσαι τὸν Αἴσωπον, ἡσύχασε. τῇ δ' ὑστεραίᾳ τῶν σχολαστικῶν τις πολυτελὲς εὐτρεπίσας δεῖπνον, σὺν ἄλλοις σχολαστικοῖς καὶ τὸν Ξάνθον κέκληκεν. εὐωχουμένων τοίνυν, ὁ Ξάνθος μερίδας ἐκ τῶν παρακειμένων ἀνελόμενος ἐπιλέκτους, καὶ τῷ Αἰσώπῳ ὄπισθεν ἐφεστῶτι δούς, τῇ εὐνοούσῃ μοι, φησὶ πρὸς αὐτόν, ταῦτα ἐπίδος ἀπελθών. ὁ δ' ἀπιών, καθ' ἑαυτὸν ἐνενόει, νῦν καιρὸς τίσασθαί μου τὴν δέσποιναν, ἀνθ' ὧν με ἡνίκα νεώνητος ἦλθον ἔσκωπτεν. ὄψεται τοίνυν εἰ τῷ δεσπότῃ μου εὐνοεῖ. ἀφικόμενος οὖν εἰς τὴν οἰκίαν, καὶ καθίσας ἐν τῷ προδόμῳ, καὶ τὴν δέσποιναν ἐκκαλέσας. τὴν σπυρίδα τῶν μερίδων ἔμπροσθεν αὐτῆς τέθεικε, καὶ φησί, δέσποινα, ταῦτα πάντα ὁ δεσπότης ἔπεμψεν οὐ σοί, ἀλλὰ τῇ εὐνοούσῃ. καὶ τὴν κύνα καλέσας. καὶ εἰπών, ἐλθὲ λύκαινα φάγε. σοὶ γὰρ ὁ δεσπότης ταῦτα ἐπέταξεν δοθῆναι, ἀνὰ μέρος τῇ κυνὶ πάντα παρέβαλε. μετὰ δὲ ταῦτα πρὸς τὸν δεσπότην πάλιν ἐλθών, καὶ ἐρωτηθεὶς εἰ τῇ εὐνοούσῃ

pedes euacuante, ac quinq; his apparentibus, Xanthus, quid hoc? inquit, Aesope: quomodo quinq;? Et ille, Duo porci quot habent pedes? Et Xanthus, Octo. Tum Aesopus, Sunt ergo hic quinq;, & saginatus porcus inferius tripes pascitur. Et Xanthus admodũ moleste ferens, amicis inquit, Nónne paulo ante dixi, q celerrime hic me ad insaniam rediget? Et Aesopus, Here nosti id, quod ex additione & subductione in quantitatem secundum rationalem summam colligitur, nõ esse errorem? Xanthus igitur nullam causam honestam inueniens uerberandi Aesopum, quieuit. Postridie aũt ex scholasticis quidam sumptuosam apparans cœnã, cum alijs discipulis & Xanthũ inuitauit. Cœnantibus igitur, Xanthus partes ex appositis accepit electas, & Aesopo ponè stanti dedit, Beneuolæq; meæ, inquit ei, hæc trade abiens. Ille uero decedens secum cogitabat, nunc occasio est ulcisci meam dominam, propterea quòd me cum nouitius ueni, cauillata est. Videbit igitur an hero meo bene uelit. Profectus itaq; in domum, & sedens in uestibulo, & hera accita sportulam partium coram ipsa posuit, ac inquit, Hera hæc omnia herus misit, non tibi, sed beneuolæ: & cane uocata, atq; dicto, Veni Lycæna, comede, tibi enim herus hæc iussit dari, particulatim cani omnia proiecit. At post hoc ad herum regressus, & rogatus an bene-

ὅσῃ δέδωκε πάντα. πάντα φησὶ, καὶ ἐνώπιόν ἐμοῦ
πάντα κατέφαγε. τοῦ δὲ ἐπανδρομένου, καὶ τί ποτε
ἄρα ἐσθίουσα ἔλεγχον; ἐκεῖνος, ἐμοὶ μὲν φησιν οὐδὲν ποιοῦν
εἴρηκε, καθ' ἑαυτὴν δὲ σοὶ χάριτας ᾔδει. ἡ μὲν τοι γυ-
νὴ τοῦ ξάνθου συμφορὰν τὸ πρᾶγμα οἰησαμένη ἅτε δὴ
δεύτερα ἤδη κακῶς ἐλεγχθεῖσα τῇ πρὸς τὸν ἄνδρα
εὐνοίᾳ, καὶ ἐπειποῦσα ἡμῖν μηκέτι τοῦ λοιποῦ συνοι-
κήσειν αὐτῷ, εἴσω παρελθοῦσα τοῦ κοιτῶνος ἐθρήνει. τοῦ
δὲ πότου προκόπτοντος, καὶ ζητημάτων πρὸς ἀλλή-
λους προτεινομένων, καὶ ἑνὸς αὐτῶν ἀπορήσαντος πη-
νίκα ἂν γένοιτο μεγάλη ἐν ἀνθρώποις ταραχὴ, αἴσω-
πος ὄπισθεν ἑστὼς εἶπεν, ἡνίκα ἂν οἱ νεκροὶ ἀνιστάμε-
νοι, τὰ ἑαυτῶν ἀπαιτήσωσι κτήματα. καὶ οἱ σχολασι-
κοὶ γελάσαντες ἔφασαν, νοήμων ἐστὶν ὁ νεώνητος.
ἑτέρου δὲ πάλιν προθέντος, ὅτου χάριν τὸ μὲν πρό-
βατον ἐπὶ σφαγὴν ἑλκόμενον οὐ βοᾷ, ὁ δὲ χοῖρος ὅτι
μάλιστα κράζει, αἴσωπος αὖθις ἔφη, ὅτι τὸ μὲν πρό-
βατον ἔθει τὸ εἰωθὸς ἀμελγόμενον, ἢ τὸ τοῦ πόκου βά-
ρος ἀποτιθέμενον, σιγῇ ἕπεται. διὸ καὶ ὑποσκελιζό-
μενον καὶ τὸν σίδηρον ὁρῶν, οὐδὲν δεινὸν ὑποπτεύει,
ἀλλ' ἐκεῖνα τὰ συνήθη καὶ μόνα δοκεῖ πείσεσθαι. ὁ δὲ
χοῖρος ἅτε δὴ μήτ' ἀμελγόμενος, μήτ' κειρόμενος,
μὴ δὲ συνειδὼς ἑαυτῷ πρός τι τῶν τοιούτων ἑλκόμε-
νος, ἀλλ' ὅτι τῶν σαρκῶν αὐτοῦ μόνων ἐστὶ χρεία, εἰκότως
βοᾷ. τούτων οὕτω ῥηθέντων, οἱ σχολασικοὶ πάλιν ἐπήνε-
σαν αὐτὸν, τραπέντες εἰς γέλωτα. παυσαμένου μὲν
τοι τοῦ πότου, καὶ τοῦ ξάνθου πρὸς τὴν οἰκίαν ἀπονοστή-
σαντος, καὶ τῇ γυναικὶ συνήθως ὁρμήσαντος προσ-
λαλεῖν, ἐκείνη τοὔμπαλιν ἀποστραφεῖσα, φησί. μή μου πλησίον

γένῃ

uolæ dederit omnia. Omnia, inquit, & coram me omnia comedit. Illo uero iterum rogãte, & quid'nam edens ait? Et is, Mihi quidem nihil quicquã dixit, sed secum tibi gratias habebat. Vxor tamen Xanthi eã rem calamitosam esse arbitrata, tanquam secunda cani redarguta erga uirũ beneuolentia, ac subdens certe nõ amplius in posterum cohabitaturã cum eo, ingressa cubiculum plorabat. Potu autem procedente, & quæstionibus alternis propositis, ac uno ex ipsis ambigente, quando futura esset ingens inter homines turbatio, Aesopus ponè stans ait: Cum resurexerint mortui, repetẽtes quæ possederint. Et scholastici ridendo dixerunt: Ingeniosus est nouitius hic. Alio uero rursus proponente, quamobrem ouis ad cædem tracta, non exclamat, sus autem quàm maxime uociferatur: Aesopus rursus ait, Quoniam ouis assueta mulgeri, aut etiam uelleris onus deponere, tacite sequitur. Ideo etiam pedibus arrepta, & ferrum uidens, nihil graue suspicatur, sed illa familiaria & sola uidetur passura. Sed sus, ut qui neque mulgetur, neque tondetur, neque nouit ad horum aliquid trahi, sed carnes suas tãtum usui esse, merito uociferatur. His sic dictis, discipuli rursus laudauerũt ipsum, uersi in risum. Finito conuiuio, & Xantho in domum reuerso, & uxorem pro more aggresso adloqui, illa ipsum auersata, inquit, Ne mihi propinquus

γυνή. δός μοι τὴν προῖκά μου, καὶ ἀπελεύσομαι. οὐδὲν γὰρ ἂν μείναιμι σὺν σοὶ τοὐντεῦθεν. σὺ δ' ἀπελθὼν τὴν κύνα κολάκευε, ᾗ πέπομφας τὰς μερίδας. καὶ ὁ ξάνθος ἐκπλαγεὶς λέγει. οὐκ ἔστιν ὅπως οὐκ ἤρτυσέ μοί τι κακὸν πάλιν αἴσωπος. καὶ πρὸς τὴν γυναῖκά φησι κυρία, ἐμοῦ πεπωκότος σὺ μεθύεις; τίνι τὰς μερίδας πέπομφα οὐχὶ σοί; μὰ δί', ἐμοὶ μὲν οὔ, φησὶν ἐκείνη, τῇ δὲ κυνί. καὶ ὁ ξάνθος τῷ αἰσώπῳ κληθέντι, φησί, τίνι δέδωκας τὰς μερίδας; κἀκεῖνος τῇ εὐνοούσῃ σοι. καὶ πρὸς τὴν γυναῖκα ὁ ξάνθος, οὐδὲν ἔλαβες; κἀκείνη, οὐδέν. καὶ ὁ αἴσωπος, τίνι γὰρ ἐκέλευσάς με, δέσποτα τὰς μερίδας δοθῆναι; κἀκεῖνος, τῇ εὐνοούσῃ μοι. καὶ ὁ αἴσωπος τὴν κύνα φωνήσας, αὕτη σοι φησὶν εὐνοεῖ. ἡ γὰρ γυνὴ κἂν εὐνοεῖν λέγηται, ἀλλ' ἐπ' ἐλαχίστῳ ἀλγήσασα, ἀντιλέγει, λοιδορεῖται, ἀναχωρεῖ. τὴν μέν τοι κύνα τύψον, ἀπέλασον, καὶ οὐκ ἀναχωρήσειεν ἄν, ἀλλ' ἐπιλαθομένη πάντων, αὐτίκα φιλοφρόνως σαίνει καὶ σὺν χάριτι τὸν δεσπότην. ἔδει σε οὖν εἰπεῖν δέσποτα, τῇ γυναικὶ τὰς μερίδας κόμισον, καὶ μὴ τῇ εὐνοούσῃ. καὶ ὁ ξάνθος, ὁρᾷς κυρία ὡς οὐκ ἐμὸν τὸ ἁμάρτημα, ἀλλὰ τοῦ κομίσαντος; ἀνάσχου τοιγαροῦν, καὶ οὐκ ἀπορήσω προφάσεως, δι' ἧς αὐτὸν μαστιγώσω. τῆς δὲ μὴ πειθομένης, ἀλλὰ λάθρα πρὸς τοὺς ἑαυτῆς γονεῖς ἀναχωρησάσης, αἴσωπος εἶπεν, οὐκ ὀρθῶς εἶπον ὦ δέσποτα, ὡς ἡ κύων σοι μᾶλλον εὐνοεῖ, καὶ οὐχ ἡ ἐμὴ δέσποινα; ἡμερῶν δέ τινων παρῳχηκυιῶν, καὶ τῆς γυναικὸς ἀδιαλλάκτου μενούσης, καὶ τοῦ ξάνθου τῶν προσηκόντων τινὰς ὡς αὐτήν, ὡς ἂν ὑποστρέψειεν οἴκαδε, πέμψαντος, τῆς δὲ μὴ ὑπείκειν

θελούσης

ias, da mihi dotem meam, & abibo, non enim manserim tecum posthac. Tu autem abiens cani adulare, cui misisti partes. Et Xãthus stupefactus ait, Non potest aliquo modo non condiuisse mihi mali aliquid rursus Aesopus. & uxori inquit: domina num me poto, tu ebria es? cui partes misi, nónne tibi? Non per Iouem, mihi quidẽ minime, inquit illa, sed cani. Et Xãthus Aesopo accito inquit, Cui dedisti partes? Et ille, Beneuolæ tuæ. Et uxori Xanthus, Nihil accepisti? Et illa: nihil. Et Aesopus, Cui enim iussisti here partes dari? Et ille: beneuolæ meæ. Et Aesopus cane uocata: hæc tibi, inqt, bene uult. nam mulier etsi bene uelle dicatur, tamẽ minima quaqꝫ recula offensa contradicit, conuiciatur, abit. Canẽ tamen uerberato, expellito, non tamen discedet, sed oblita omnium, statim benigne blanditur & cũ gratia hero. Oportebat igitur dicere here, uxori has partes ferto, & nõ beneuolæ. Et Xanthus, Vides domina non meam esse culpam, sed eius qui tulit? tolera itaque, nec deerit mihi occasio, qua eum uerberem. Illa uero non credente, uerum clàm ad suos parentes regressa, Aesopus inquit, Non recte dixi, ô here, canem tibi magis bene uelle, quàm meam heram? Diebus autem aliquot præteritis, & uxore irreconciliata manente, & Xantho affines quosdam ad ipsam, ut reuerteretur domum mittente, illa uero cum cędere

nollet

θελούσης, καὶ τοῦ ξάνθου διὰ αὐτὴν εἰς ἀθυμίαν πεσόντος, αἴσωπος προσελθὼν αὐτῷ φησι, μὴ ἀνιῶ δέσποτα. ἐγὼ γὰρ αὐτὴν αὔριον ἥκειν αὐθαίρετον, καὶ ἀπαραλλάκτην δράσω πρὸς σέ. καὶ λαβὼν κέρμα, πρὸς τὴν ἀγορὰν ἦλθεν, καὶ ὠνησάμενος χῆνας καὶ ὄρνιθας, καὶ ἄλλ' ἄττα τῶν πρὸς εὐωχίαν ἐπιτηδείων, βαδίζων τὰς οἰκίας περιενόστει. παρήει τοίνυν καὶ τὴν τῶν τῆς αὐτοῦ δεσποίνης γεννητόρων οἰκίαν, μήτε ταύτην εἰδέναι προσποιούμενος ἐκείνων τυγχάνουσαν, μήτε μὴν ἐν αὐτῇ τὴν δέσποιναν μένουσαν. καὶ δή τινι τῶν τῆς οἰκίας ἐκείνης ἐντυχὼν ἠρώτα εἴ τι που τῶν εἰς γάμους χρησίμων οἱ κατὰ τὴν οἰκίαν ἔχοιεν αὐτῷ πωλῆσαι. τοῦ δέ, καὶ τίς τούτων ἔχει τὴν χρείαν πυθομένου, ξάνθος φησὶν ὁ φιλόσοφος. αὔριον γὰρ γυναικὶ μέλλει συνάπτεσθαι. τοῦ δὲ ἀναβάντος, καὶ τῇ γυναικὶ ταῦτα τοῦ ξάνθου ὡς ἤκουσεν ἀναγγείλαντος, ἐκείνη σὺν δρόμῳ, καὶ σπουδῇ πρὸς τὸν ξάνθον ἦλθεν αὐτίκα, καὶ αὐτοῦ κατεβόα λέγουσα πρὸς τοῖς ἄλλοις καὶ ταῦτα, ὡς οὐκ ἂν ἐμοῦ ζώσης ὦ ξάνθε ἑτέρᾳ γυναικὶ δυνηθήσῃ συναρμοσθῆναι. καὶ οὕτως ἔμεινεν ἐπὶ τῆς οἰκίας διὰ αἴσωπον, ὡς καὶ διὰ ἐκεῖνον ἀπῆρε. μετὰ δ' ἡμέρας πάλιν τινάς, καλέσας ὁ ξάνθος σχολαστικοὺς εἰς ἄριστον, τῷ αἰσώπῳ φησίν, ὀψώνησον ἀπελθὼν πᾶν ὅ, τι χρηστότατόν τε καὶ βέλτιστον. ὁ δὲ ἀπιὼν, καθ' ἑαυτὸν ἔλεγεν, ἐγὼ διδάξω τὸν δεσπότην μὴ μωρὰ διατάττεσθαι. γλώττας οὖν μόνας ὑείους πριάμενος καὶ ἑτοιμάσας ἀνακλινθεῖσι, γλῶτταν ὀπτὴν ἑκάστῳ σὺν ὀξυγάρῳ παρέθηκε. τῶν δὲ σχολαστικῶν ἐπαινεσάντων ὡς φιλοσόφου τὸ πρῶτον ἔδεσμα, διὰ τὴν τῆς γλώττης πρὸς τὸν λόγον ὑπηρεσίαν,

πάλιν

nollet,& inde Xanthus in mœrore esset, Aeso pus adiens ad eum inquit, Ne te afflictes here: ego enim eam cras uenire sponte & citissime faciam ad te. Et accepta pecunia in forum iuit, ac emptis anseribus,& gallinis,& alijs quibusdam ad conuiuium idoneis,ambulans domos circuibat: transibat igitur & ante domũ parentum heræ suæ, ignorare simulans illorum esse, & in ea heram manere. Et cum in quendam ex domo illa incidisset,rogabat, an aliquid ad nuptias utile domestici possent sibi uendere. Illo autem, & cui opus est rogitante: Xantho,inquit,philosopho: cras enim uxori copulandus est. Eo uero ascendente,& uxori hæc Xanthi, ut audiuit,renunciante,illa cursim & propere ad Xanthum iuit statim, & contra ipsum clamabat,dicens inter alia & hęc: Non me uiuente,ô Xanthe, alteri uxori coniungi poteris. Et sic mansit in domo per Aesopum,quemadmodum propter illum discesserat. Post rursus dies aliquot, inuitans Xanthus discipulos ad prandium,Aesopo inquit: Eme optimum quodque & præstantissimum. Ille inter euundm secum dicebat: ego docebo herum non stulta mandare. Cum linguas igitur solum suillas emisset & apparasset discumbentibus, linguam assatam singulis cum salsamento apposuit. Discipulis laudantibus ut philosophicum primum ferculum,propter linguę ad loquutionẽ ministeriũ:
rursus

πάλιν Αἴσωπος ἑφθὰς γλώττας παρέθηκε. καὶ αὖθις αὖ βρώματος αἰτηθέντος ἄλλου καὶ ἄλλου, ὁ δ' οὐδὲν ἕτερον ὅτι μὴ γλώττας παρετίθει. τῶν δὲ σχολαστικῶν ἤδη περὶ ταύτης τῆς τροφῆς ἀγανακτησάντων, μέχρι τίνος γλώττας εἰπόντων, καὶ ὡς ἡμεῖς δι' ἡμέρας γλώττας ἐσθίοντες τὰς ἡμετέρας ἠλγήσαμεν, ὁ Ξάνθος φησὶ πρὸς ὀργὴν, οὐδέν σοι πάρεστιν ἕτερον Αἴσωπε; καὶ ὅς, οὐ δῆτα. κἀκεῖνος, οὐκοῦν ἐνετειλάμην σοι κατάρατε ἀνθρώπων πᾶν ὅ, τι χρηστότατόν τε καὶ ἄριστον ὀψωνῆσαι; καὶ ὁ Αἴσωπος, πολλὰς ὁμολογῶ σοι τὰς χάριτας μεμφομένῳ με φιλοσόφων ἀνδρῶν παρόντων. τί ἂν οὖν γένοιτο γλώττης χρηστότερόν τε καὶ βέλτιον ἐν τῷ βίῳ; πᾶσα γὰρ παιδεία καὶ φιλοσοφία δι' αὐτῆς παιδεύεται καὶ διδάσκεται, δι' αὐτῆς δόσεις, λήψεις, ἀγοραὶ, ἀσπασμοὶ, εὐφημίαι, μοῦσαι πᾶσαι. δι' αὐτῆς γὰρ συγκροτοῦνται γάμοι. πόλεις ἀνορθοῦνται. ἄνθρωποι διασώζονται. καὶ συνελόντι φάναι, δι' αὐτῆς ἅπας ὁ βίος ἡμῶν συνέστηκεν. οὐδὲν ἄρα τῆς γλώττης ἄμεινον. ἤδη τούτοις οἱ σχολαστικοὶ τὸν μὲν Αἴσωπον ὀρθῶς λέγειν φάμενοι, ἡμαρτηκέναι δὲ τὸν διδάσκαλον, διεληλύθασιν ἕκαστος ἐπ' οἴκου. τῇ δ' ὑστεραίᾳ πάλιν αἰτιωμένων αὐτῶν τὸν Ξάνθον, ἐκεῖνος ἀπελογεῖτο μὴ κατὰ γνώμην αὐτοῦ ταῦτα γεγονέναι, ἀλλὰ τοῦ ἀχρείου δούλου τῇ κακουργίᾳ. σήμερον δὲ διαμείψει τὸ δεῖπνον. κἀγὼ δὲ παρόντων ἡμῶν αὐτῷ διαλέξομαι. καὶ καλέσας αὐτὸν, πᾶν ὅ, τι φαυλότατόν τε καὶ χείριστον ὀψωνῆσαι κελεύει, ὡς τῶν σχολαστικῶν σὺν αὐτῷ δειπνησόντων. ὁ δὲ, μηδὲν διατραπεὶς, πάλιν γλώσσας ἐπρίατο. καὶ ἑτοιμάσας, ἀνακλιθεῖσι παρέθηκεν. οἱ δὲ, πρὸς ἀλλήλους ὑπε-

φώνουν

rurſus elixas Aeſopus linguas appoſuit,atq; ite rum etiã ferculo alio atq; alio petito, ille nihil aliud q̃ linguas proponebat. Diſcipulis aũt eodem ſubinde cibo repetito indignatis,quouſq; linguas inquientibus,quippe nos per diem linguas edẽdo,noſtras doluimus. Xãthus inquit iratus, Nihil aliud tibi eſt Aeſope? Et is, Nõ certe. Tum ille, Nónne mandaui tibi ſordidiſſime homule, optimũ quodq; & pręſtãtiſſimũ obſonari? Et Aeſopus, Multas habeo tibi gratias increpanti me philoſophis præſentibus. Quid igitur fuerit lingua melius & præſtantius in uita? omnis eñ doctrina & philoſophia per ipſam monſtratur ac traditur. Per ipſam dationes, acceptiones, fora, ſalutatiões, benedicentię, muſa omnis. Per ipſam celebrantur nuptię, ciuitates eriguntur, homines ſeruantur: & ut breuiter dicam, per ipſam tota uita noſtra cõſiſtit. nihil ergo lingua melius. Ob hæc diſcipuli Aeſopũ recte loqui dicẽtes, aberraſſe uero magiſtrũ, abiere ſinguli in domum. Poſtridie rurſus accuſantib. ipſis Xanthũ, ille reſpondebat, nõ ſecundũ uoluntatẽ ſuam hæc fuiſſe, ſed inutilis ſerui nequitia, hodie autẽ permutabit cœnam, & ipſe præſentibus uobis cũ eo colloquar. Ac uocato eo, uiliſſimũ quodq;, & peſſimum obſonari iubet, quod diſcipuli ſecum forent cœnaturi. Ille autẽ nihil mutatus, rnrſus linguas emit. & apparatas diſcũbẽtibus appoſuit. Hi inter ſe ſub-

murmu-

φώνησιν, χοίρειαι πάλιν γλῶσσαι. καὶ μετὰ μικρὸν αὖθις γλώττας παρέθηκε, καὶ μάλα αὖθις καὶ αὖθις. τοῦ ξάνθου δὲ δυσαναχετήσαντος, καὶ τί τοῦτο αἴσωπε εἰρηκότος, μὴ πάλιν ἐνετειλάμην σοι πᾶν ὅ, τι χρηστότατόν τε καὶ βέλτιστον ὀψωνῆσαι, οὐχὶ πᾶν ὅ, τι φαυλότατόν τε καὶ χείριστον; ὁ δὲ, καὶ τί ποτε χεῖρον τῆς γλώττης ὦ δέσποτα; οὐ πόλεις δι' αὐτῆς καταπίπτουσιν; οὐκ ἄνθρωποι δι' αὐτῆς ἀναιροῦνται; οὐ ψεύδη πάντα καὶ βλασφημίαι καὶ ἐπιορκίαι διὰ ταύτης περαίνονται; οὐ γάμοι καὶ ἀρχαὶ καὶ βασιλεῖαι δι' αὐτῆς ἀνατρέπονται; οὐχ ὡς κεφάλαιον εἰπεῖν, ὁ βίος δι' αὐτῆς ἅπας μυρίων πλημμελημάτων γέμει; ταῦτα τοῦ αἰσώπου φαμένου, τῶν τις συνανακειμένων τῷ ξάνθῳ φησίν, οὗτος εἰ μὴ πάνυ σεαυτὸν ἀσφαλίσῃ. οὐκ ἂν ἄπορος εἴη μανίας ἀφορμή σοι γενέσθαι. οἵα γὰρ ἡ μορφή, τοιάδε καὶ ἡ ψυχή. καὶ ὁ αἴσωπος πρὸς αὐτὸν, σύ μοι δοκεῖς ἄνθρωπε κακεντρεχὴς τις καὶ περίεργος εἶναι, δεσπότην παροξύνων κατὰ οἰκέτου. καὶ ὁ ξάνθος πρὸς ταῦτα, προφάσεως ἐφιέμενος μαστιγῶσαι τὸν ἄνθρωπον, δραπέτα φησίν, ἐπεὶ περίεργον εἶπας τὸν φίλον, δεῖξόν μοι ἀπερίεργον ἄνθρωπον ἀγαγών. ἐξελθὼν τοίνυν τῇ ἐπιούσῃ ἰθὺ τῇ λεωφόρου ὁ αἴσωπος, καὶ τοὺς παριόντας περισκοπῶν, ὁρᾷ ἕνα ἐφ' ἑνὸς τόπου ἱκανὸν χρόνον καθίσαντα, ὃν καὶ δοκιμάσας καθ' αὐτὸν ἀπράγμονά τινα, καὶ ἁπλοῦν εἶναι, προσελθών φησιν, ὁ δεσπότης σε καλεῖ σὺν αὐτῷ ἀριστῆσαι. καὶ ὁ ἄγροικος ἐκεῖνος μηδὲν περιεργασάμενος, μήτε τίς ὢν ὑπὸ τίνος καλεῖται, εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ σὺν αὐτοῖς ὑποδήμασι φαύλοις οὕτως ἀνέπεσεν. ἐρομένου δὲ

τοῦ ξάνθου

murmurabāt,porcinæ rursus linguæ. Et paulo pòst iterū linguas apposuit, & ualde iterū atq; iterū. Xātho aūt iniquo animo ferente,& quid hoc Aesope dicente, Nū rursus mandaui tibi optimū quodq; & præstantissimū obsonari? ac non potius uilissimum quodq;, & pessimū? Ille aūt,& quid unq; peius lingua ô here? nonne urbes per ipsam corruūt? Nō homines per ipsam interficiūtur, nō mēdacia omnia, & maledicta, & periuria per ipsam perficiunt? non nuptię & principatus & regna per ipsam euertuntur? nō, ut summatim dicā, uita oīs p ipsam infinitorū errorū referta est? Hæc Aesopo dicēte, qdam ex discūbētibus unà, Xātho inquit: Hic, nisi ualde teipsum munieris, nō dubia erit insanię causa tibi, qualis em̄ forma, talis et anima, Et Aesopus ad eū, tu mihi uideris ô homo prauus quidā & curiosus esse, herū iritās contra seruū. Et Xanthus ad hæc, causam cupiēs uerberādi hominē, Fugitiue, inquit, quoniā curiosum dixisti amicū, ostēde mihi incuriosum hominē adductū. Egressus igitur postridie in plateā Aesopus, et eos qui præteribāt circūspiciens, uidet quendā in loco quodā diu sedentem, quem iudicans secum ociosum & simplicem esse, accedens inquit, Herus te inuitat secum pransurū. Et rusticus ille nihil sciscitatus, neq; quis esset à quo inuitaretur, ingressus est in domum, & cum ipsis calceis ut erant uiles, discubuit. Rogāte autem
 Xantho

τοῦ ξάνθου, τίς οὗτος; αἴσωπος εἶπεν, ἀπερίεργος ἄν-
θρωπος. καὶ ὁ ξάνθος εἰς οὖς εἰπὼν τῇ γυναικὶ συμ-
πεπεῖσθαι αὐτῷ, καὶ ὅπερ ἂν αὐτὸς ἐπιτάττῃ, ποιεῖν,
ὡς ἂν εὐπροσώπῳ λόγῳ πληγὰς τῷ αἰσώπῳ ἐντεί-
νειν. εἶτα ἐν ἐπηκόῳ πάντων φησί, κυρία, ὕδωρ ἐπὶ
τῆς λεκάνης βαλοῦσα, τοὺς πόδας τοῦ ξένου νίψον. δι-
ενοεῖτο γὰρ καθ' αὑτόν, ὡς πάντως ὁ μὲν ξένος εὐλα-
βηθήσεται, ὁ δ' αἴσωπος ὡς ἐκείνου περιέργου φανέν-
τος, πληγὰς λήψεται. ἡ μὲν οὖν βαλοῦσα τὸ ὕδωρ εἰς
τὴν λεκάνην, ᾔει τοὺς πόδας τοῦ ξένου νίψουσα. ὁ δὲ γνοὺς
ταύτην οὖσαν τὴν τοῦ οἴκου δεσπότιν, καθ' ἑαυτὸν εἶ-
πε, τιμῆσαί με πάντως βούλεται, καὶ τούτου δὲ χάριν
αὐτοχειρίᾳ τοὺς πόδας μου βούλεται νίψαι, ἐπεὶ θερα-
παινίσιν εἶχεν ἂν τοῦτ' ἐπιτάξαι. προτείνας οὖν τοὺς πό-
δας, νίψον κυρία, φησί. καὶ νιψάμενος ἀνεκλίνθη.
τοῦ δὲ ξάνθου κελεύσαντος οἶνον τῷ ξένῳ δοθῆναι
πιεῖν, πάλιν ἐκεῖνος διελογίζετο καθ' αὑτόν, ὡς αὐ-
τοὺς μὲν τὸ πρότερον ἔδει πιεῖν, ἐπεὶ δ' οὕτως αὐτοῖς
ἔδοξεν, οὐδὲν ἔργον ἐμοὶ τὰ τοιαῦτα ἐρευνᾶν, καὶ λα-
βὼν ἔπιεν. ἀριστούντων δέ, καί τινος ἐδέσματος τῷ
ξένῳ παρατεθέντος, κἀκείνου ἡδέως ἐσθίοντος, ὁ ξάν-
θος τῷ μαγείρῳ ὡς κακῶς τοῦτο ἀρτύσαντι ἐνεκάλει.
καὶ μέν τοι καὶ ἀποδυθέντι πληγὰς ἐνεφόρει. ὁ δ' ἀ-
γροιώτης καθ' αὑτὸν ἔλεγε, τὸ μὲν ἔδεσμα ἄριστα ἕψη-
ται, καὶ οὐδενὸς αὐτῷ δεῖ πρὸς τὸ καλῶς ἔχειν. εἰ δὲ καὶ
δίχα προφάσεως βούλεται τὸν αὑτοῦ δοῦλον μαστιγοῦν ὁ οἰ-
κοδεσπότης, τί πρὸς ἐμέ; τοῦ δὲ ξάνθου ἀσχάλλοντος καὶ οὐχ
ἡδέως διακειμένου, ἐπεὶ μηδὲν ὁ ξένος περιειργάζετο, τέ-
λος πλακοῦντες εἰσηνέχθησαν. ὁ δὲ ξένος ἅτε δὴ μήπω πλα-

κοῦντος

Xantho, quis hic? Aesopus ait: incuriosus homo. Et Xanthus in aurē fatus uxori, ut sibi obsequeretur, & quod ipse iusserit faceret, ut honesta ratiōe plagas Aesopo inferret, deinde coram omnibus inquit, Domina, aquā in peluim iniice, & pedes hospitis laua. Cogitabat enim secum omnino hospitē recusaturū, Aesopū uero, quia ille curiosus esset, uerberib. cæsum iri. Illa igitur iacta aqua in peluim, ibat pedes hospitis lotura. At ille cognoscēs hāc esse domus dominā, secū loquebatur: honorare me omnino uult, atq; huius rei gratia suis manibus pedes meos uult lauare, quum ancillis queat hoc mādare. Extensis igitur pedibus, Laua, inquit, hera, ac lotus discubuit. Xantho aūt iubente uinum hospiti dari bibere, rursus ille considerabat secum, ipsos ante oportere bibere, sed quia sic ipsis uisum est, nō opus mihi hæc inquirere: & accipiens bibit. Prandētibus uero & ferculo quodā hospiti apposito atq; illo suauiter comedente, Xanthus cocum, q; male hoc cōdiuisset criminabatur, atq; etiam nudū uerberibus afficiebat. Rusticus autem secum dicebat, ferculū quidem optime coctū est, & nihil ei deest quo minus recte paratum sit, si aūt absq; causa uult suū seruū flagellare paterfamilias, quid ad me? Xantho aūt ægre ferente, neq; iucūde affecto, qm̄ nihil hospes curiose inquirebat, tādem placentæ allatæ sunt, hospes uero tanq; nunq; pla

κοῦντος γευσάμενος, σωρεύσας καὶ συνειλῶν αὐτοὺς
ὡς ψωμοὺς ἤσθιε. τοῦ δὲ ξάνθου τὸν ἀρτοποιὸν αἰτιαζο-
μένου, καὶ τί δή ποτε ὦ κατάρατε φαμένου καὶ μέλι-
τος δίχα καὶ πεπέρεως τοὺς πλακοῦντας συσκευά-
σας; ἐκεῖνος ἔφη, εἰ μὲν ὠμός ἐστιν ὦ δέσποτα ὁ πλα-
κοῦς, ἐμὲ τύπτε. εἰ δ' οὐχ ὡς ἔδει συσκεύασται, μὴ ἐμέ,
ἀλλὰ τὴν δέσποιναν αἰτιῶ. καὶ ὁ ξάνθος, εἰ πρὸς τῆς
ἐμῆς τοῦτο γέγονε γυναικός, ζῶσαν αὐτὴν ἀρτίως κατα-
καύσω. καὶ πάλιν τῇ γυναικὶ νεύει αὐτῷ συνυποκρι-
θῆναι δὴ αἴσωπον. κελεύσας οὖν κληματίδας εἰς τὸ
μέσον ἀχθῆναι, πυρὰν ἀνῆψε. καὶ λαβόμενος τῆς γυ-
ναικός, ἐγγὺς τῆς πυρᾶς ἤγαγε, προσδοκήσιμος ὢν αὐ-
τὴν εἰς τὸ πῦρ ἐπαφεῖναι. διέτριβε δέ πως καὶ περιε-
βλέπετο τὸν ἄγροικον, εἴπως ἀναστὰς τοῦ τοιοῦδε τολ-
μήματος εἶρξαι αὐτὸν ἐγχειρήσειεν. ὁ δέ, καθ' αὑτὸν αὖ-
θις διεσκοπεῖτο, ὡς αἰτίας μὴ παρούσης, τί δή ποτε
οὕτως ὀργίζεται; εἶτά φησιν, οἰκοδέσποτα, εἰ τοῦτο κέ-
κρικας δεῖν γενέσθαι, ὑπομεινόν με μικρὸν μέχρις ἂν
ἀπελθὼν ἐνέγκω μου καὶ αὐτὸς ἐξ ἀγροῦ τὴν γυναῖκα,
ὡς ἂν ἄμφω κατὰ τὸ αὐτὸ κατακαύσῃς. ταῦτα τοῦ ἀν-
δρὸς ὁ ξάνθος ἀκούσας, καὶ τὸ πάντῃ ἀκέραιον καὶ γεν-
ναῖον θαυμάσας τῷ αἰσώπῳ φησίν, ἰδὲ ἀληθῶς ἄν-
θρωπος ἀπερίεργος. ἔχεις τὰ νικητήρια λαβὼν αἴ-
σωπε. ἄλις ἔχω σοι τοῦ λοιποῦ. τὸ δ' ἐντεῦθεν, ἐλευ-
θερίας τῆς σῆς αὐτὸ δέξῃ. τῆς δ' ἐπιούσης ὁ ξάνθος ἐπέ-
ταξε τῷ αἰσώπῳ εἰς τὸ βαλανεῖον ἀπελθεῖν καὶ σκέ-
ψασθαι, εἰ μὴ πολὺς πάρεστιν ὄχλος, βούλεσθαι γὰρ αὐ-
τὸν λουθῆναι. ἀπιόντι δέ, ὁ στρατηγὸς συναντήσας, τῆς
τοῦ ξάνθου γνοὺς αὐτὸν ὄντα, ἤρετο ποῖ πορεύοιτο. τοῦ
δέ, οὐκ

centã gustasset conuoluens, & accipiens ipsas ut panes comedebat. Xantho aũt pistorẽ accusante, & cur'nam ô execrande dicente, & absq; melle ac pipere placẽtas pręparasti? Ille, inquit, si cruda est ô here placẽta, me uerbera. Si uero non ut oportebat, præparata est, non me sed heram accusa. Et Xanthus, Si à mea hoc factum est uxore, uiuã ipsam nunc comburã. Atq; iterum uxori innuit, ut sibi obsequeretur propter Aesopũ. Iusso igitur sarmenta in mediũ afferri, pyram succendit, & arreptã uxorem prope pyram egit, expectaturus ipsam in ignem immittere. Differebat aũt aliquo modo, & circumspiciebat rusticũ, si quo modo assurgẽs à tali audacia prohibere ipsum aggrederetur. Sed is secum rursus cõsiderabat. cum nulla adsit causa, quidnam sic irascitur? Deinde, inquit, ô pater familias, si hoc iudicas oportere fieri, expecta me parũper dum digressa adducã & ipse meam ex agro uxorẽ, ut ambas simul cõburas. Hæc à uiro Xanthus audiens, & huius synceritatem ac generositatem admiratus, Aesopo inquit, Ecce uero homo incuriosus. Habes accepta præmia uictoriæ ô Aesope. satis est tibi de cætero. deinuero libertatem tuam assequeris. Postridie aũt Xãthus iussit Aesopo in balneas ire, & scrutari an multa adesset turba, uelle enim lauari. Abeunti aũt prætor occurens, & Xanthi ipsum esse cognoscens, interrogauit quónam iret. illo

 nescio

δὲ, οὐκ οἶδα φαμένου, νομίσας ὁ στρατηγὸς τὴν ἐρώτησιν αὐτοῦ παρ' οὐδὲν λογίσασθαι, εἰς εἱρκτὴν αὐτὸν ἀπαχθῆναι κελεύει. ἀπαγόμενος τοίνυν ὁ αἴσωπος ἔκραξεν, ὁρᾷς ὦ στρατηγὲ, ὅπως ὀρθῶς ἀπεκρίθην; ἃ γὰρ μὴ προσεδόκησα, καὶ συνήντησά σοι, καὶ εἰς εἱρκτὴν ἤδη ἀπάγομαι. καὶ ὁ στρατηγὸς ἐκπλαγεὶς ἐπὶ τῷ τῆς ἀπολογίας ἑτοίμῳ, ἀφῆκεν ἀπιέναι. αἴσωπος δὲ παραγενόμενος εἰς τὸ βαλανεῖον, καὶ πλῆθος ἐν αὐτῷ θεασάμενος ὄχλου, καὶ λίθον ὁρᾷ κατὰ τὸ τῆς εἰσόδου μεσαίτατον κείμενον, ἐφ' ὃν ἕκαστος τῶν εἰσιόντων τε καὶ ἐξιόντων, τὸν πόδα προσέπταιε. ὕστερον δὲ εἷς τις εἰσιὼν ἐφ' ᾧ λούσασθαι, ἄρας μετέθηκεν. ὑποστρέψας οὖν πρὸς τὸν δεσπότην, εἰ κελεύεις φησὶ δέσποτα λούσασθαι, ἕνα ἄνθρωπον ἐν τῷ βαλανείῳ τεθέαμαι. καὶ τοῦ ξάνθου ἐλθόντος, καὶ τὸ πλῆθος τῶν λουομένων ἰδόντος, καὶ τί τοῦτο, εἰπόντος, αἴσωπε, οὐχ ἕνα ἄνθρωπον ἔφης ἑωρακέναι; ὁ αἴσωπος, ναί φησιν. τὸν γὰρ λίθον ἐκεῖνον. τῇ χειρὶ δείξας, πρὸ τῆς εἰσόδου κείμενον εὗρον, ἐφ' ὃν οἱ εἰσιόντες πάντες καὶ ἐξιόντες προσέπταιον. εἷς δέ τις πρὶν ἢ προσπταῖσαι, ἄρας μετέθηκεν. ἐκεῖνον οὖν ἕνα ἄνθρωπον εἶπον ἑωρακέναι, προτιμήσας τῶν ἄλλων. καὶ ὁ ξάνθος. οὐδὲν παρὰ τῷ αἰσώπῳ ἀργὸν εἰς ἀπολογίαν. ἀλλοτέ ποτε τοῦ ξάνθου ἐξ ἀφέδρου ἐπανιόντος, καὶ πυθομένου τὸν αἴσωπον, τί δή ποτε οἱ ἄνθρωποι μετ' ἀπόπατον τὰ τῆς γαστρὸς ἐκκρίματα βλέπουσιν; ἐκεῖνος ἔφη. κατὰ τοὺς παλαιοὺς χρόνους ἀνήρ τις τῶν τρυφερωτέρων ζώντων, πολὺν χρόνον ὑπὸ σπατάλης ἐν ἀφόδῳ ἐκάθητο, ὡς καὶ τὰς οἰκείας ἐκεῖ διατρίβων ἀποπατῆσαι φρένας. ἐξ ἐκείνου τοίνυν δεδοικότες οἱ λοιποὶ τῶν ἀνθρώπων, πρὸς τὰ τῆς

γαστρὸς

nescio dicēte, existimās prætor interrogationē suā floccipendi, in carcerē ipsum abduci iubet. inter abducēdū igit Aesopus clamauit, Vides ô pretor quemadmodū recte responderim? quę enim nō expectaui & occurri tibi & in carcerē iam trahor. Tū pretor stupefactus responsi prō ptitudine, siuit abire. Aesopus aūt profectus in balneas, & multitudinem in ipsis intuitus tur/bæ, & lapidē uidet in medio ingressu positū, in quē singuli ingredientes & egrediētes offende bant. Hūc aūt unus quis ingrediens ut lauaret, sublatū transposuit. Reuersus igitur ad herū, Si uis, inquit, here lauari, unū hominē in balneis uidi. Et Xātho, pfecto, ac multitudinē lauantiū uidēte, & quid hoc dicēte ô Aesope, nōne unū hominē dixisti te uidisse? Aesopus, certe, inqt: nam lapidē illū (manu ostēdēs) ante ingressum positū reperi, in quē ingredientes omnes & ex-euntes offendebāt. Vnus uero quidā anteq̄ illi deret eleuatū trāsposuit. Illū igit unū hominem dixi uidisse, pluris faciēs q̄ alios. Tū Xanthus, Nihil apud Aesopū tardū est ad responsionem. Aliquādo aliâs Xantho ex latrina redeunte, & interrogante Aesopū, quid ita homines post ca cationem uentris excremēta aspiciunt? Ille ait, Antiquis tēporibus uir quidā delicatius uiuēs multo tempore præ delitijs in latrina sedebat, ut & sua illic immorans cacauerit præcordia. Ex illo tēpore igitur timentes cæteri homines,

γαστρὸς ἀφορῶσι λύματα, μή πως καὶ αὐτοὶ ταὐτὰ πεπόνθασιν. ἀλλὰ σὺ δέσποτα μὴ φοβοῦ, οὐ γὰρ ἔχεις φρένας. ἐν ἡμέρᾳ δέ τινι συμποσίου συγκροτηθέντος, καὶ τοῦ ξάνθου σὺν τοῖς ἄλλοις τῶν φιλοσόφων ἀνακλιθέντος, καὶ τοῦ πότου ἤδη ἐπικρατήσαντος, συχνὰ προβλήματα μεταξὺ τούτων ἐκαλινδεῖτο. καὶ τοῦ ξάνθου ἀρξαμένου ταράττεσθαι, αἴσωπος παρεστὼς ἔφη, δέσποτα, ὁ διόνυσος τρεῖς κέκτηται κράσεις. τὴν μὲν πρώτην, ἡδονῆς. τὴν δὲ δευτέραν, μέθης. τὴν δὲ τρίτην, ὕβρεως. καὶ ὑμεῖς οὖν πεπωκότες ἤδη καὶ ἡσθέντες, τὰ ἐφεξῆς καταλίπετε. καὶ ὁ ξάνθος, ἤδη μεθύων φησί, σιώπα, τοῖς ἐν ᾅδῃ συμβούλευε. καὶ ὁ αἴσωπος, οὐκοῦν καὶ εἰς ᾅδου κατασπασθήσῃ. τῶν δὲ σχολαστικῶν τις ὑποβεβρεγμένον ἤδη τῇ μέθῃ τὸν ξάνθον ἰδών, καὶ ὅλον εἰπεῖν οἰνοπλῆγα, καθηγητά φησι, δύναταί τις ἐκπιεῖν τὴν θάλατταν ἄνθρωπος; καὶ ὅς, πάνυ μὲν οὖν. ἐγὼ γὰρ αὐτὸς ταύτην ἐκπίομαι. καὶ ὁ σχολαστικός, εἰ δ᾽ οὐ δυνήσῃ, τί ποτέ σοι τίμημα ἐπιγράψω; καὶ ὁ ξάνθος, τὴν οἰκίαν μου τίθημι πᾶσαν. καὶ ἐπὶ τούτοις καταθέμενοι τοὺς δακτυλίους, τὰς συνθήκας ἐκύρωσαν. τότε μὲν οὖν διελύθησαν. τῇ δ᾽ ὑστεραίᾳ πρωΐας διεγερθέντος τοῦ ξάνθου, καὶ τήν τε ὄψιν νιψαμένου, καὶ τὸν δακτύλιον ἐν τῷ νίπτεσθαι μὴ ἰδόντος, καὶ τὸν αἴσωπον περὶ αὐτοῦ πυνθανομένου, ἐκεῖνος οὐκ οἶδα, φησι, τί ποτε γέγονεν. ἓν δ᾽ οἶδα μόνον, ὅτι τῆς οἰκίας σαυτοῦ ἀλλότριος γέγονας. καὶ ὁ ξάνθος, ὅτι τί δή; καὶ ὁ αἴσωπος, ὅτι τὴν χθὲς μεθύων, συνέθου τὴν θάλατταν ἐκπιεῖν. κἀπὶ ταῖς ὁμολογίαις κατέθου καὶ τὸν δακτύλιον. κἀκεῖνος, καὶ πῶς ἄρ᾽ ἐγὼ μεῖζον πί-

ςεθ

uentris inſpiciunt ſordes, ne quo modo & ipſi hoc patiantur. Sed tu here, ne time. Non enim ſunt tibi præcordia. Die autem quodam celebrato conuiuio, & Xantho cum alijs philoſophis diſcumbente, & potu iam inualeſcēte, crebræ quæſtiones inter hos uerſabant̄, atq; Xantho incipiente turbari, Aeſopus adſtans ait, here, Bacchus tria poſſidet tēperamenta, primum uoluptatis, ſecundum ebrietatis, tertium cōtumeliæ. Et uos igitur poti iam & lætati, quæ reliqua ſunt obmittite. Tum Xanthus iam ebrius ait, Tace, inferis conſule. Et Aeſopus, Igitur & in infernum diſtrahere. Ex diſcipulis autē quidam ſubebrium iam Xanthum uidēs, & ut in uniuerſum dicam, temulentum, O præceptor, inquit, poteſt ne quis ebibere mare homo? Et ille, Admodum quidem. ego enim ipſe hoc ebibam. Et diſcipulus, At ſi non poteris, quā'nam tibi multā irrogabo? Tum Xanthus, Domum meam depono totam. Atq; interim depoſitis annulis pacta firmauerūt, tum diſceſſerunt. Poſtridie diluculo excitato Xantho ac faciem lauante, & annulum inter lauandū nō uidente, & Aeſopum de eo interrogante, Ille, neſcio, inquit, quid'nam factū fuerit, ſed unum ſcio tantum, ꝙ à domo decideris tua. Tum Xanthus, Quamobrem? Et Aeſopus, Quoniam heri ebrius pepigiſti mare ebibere, atq; in pactis depoſuiſti & annulū. Et is, Tum quomodo maius fi

ςεὸς ὄργανον δυνήσομαι; ἀλλά σου νῦν δέομαι, εἴ τις σύνεσις, εἴ τις δεινότης καὶ ἐμπειρία, ξυμπαρεῖναί σε καὶ βοήθειαν ὄρεγε, ὡς περιγένωμαι, ἢ τάς γε συνθήκας λῦσαι. καὶ ὁ αἴσωπος, περιγενέσθαι μὲν οὐκ ἔνι, λυθῆναι δὲ τῆς ὁμολογίας ποιήσω. ἐπειδὰν γὰρ αὖθις τήμερον εἰς ταυτὸ συνέλθητε, μηδ' ὁπωσοῦν φανεὶς δειλιάσας, ἀλλ' ἅπερ ὡμολόγησας παροινῶν, ταῦτα καὶ νήφων λέγε. κέλευσον μέν τοι στρώματα καὶ τράπεζαν παρὰ τὴν ἠιόνα τεθῆναι, καὶ παῖδας ἑτοίμους σὺν ἐκπώμασιν ὀρέγειν σοι τὸ θαλάττιον ὕδωρ. ἐπειδὰν δὲ σύμπαντα θεάσῃ τὸν ὄχλον συνδεδραμηκότα ἐπὶ τὴν θέαν, αὐτὸς ἀναπεσὼν, κέλευσον ἐκ τῆς θαλάττης πλησθῆναι τὸ ἔκπωμα. καὶ τοῦτο λαβὼν ἐν ἐπηκόῳ πάντων εἰπὲ τῷ συνθηκοφύλακι, τίνας πρὸς ὑμῖν πεποιήκαμεν τὰς συνθήκας; καὶ ὃς ἀποκρινεῖταί σοι, ὡς ὡμολόγησας τὴν θάλασσαν ἐκπιεῖν. στραφεὶς οὖν σὺ πρὸς ἅπαντας οὕτω φράσον. ἄνδρες σάμιοι, ἴστε καὶ ὑμεῖς πάντως πλείστους ὅσους ποταμοὺς ἐκβάλλοντας εἰς τὴν θάλασσαν. ἐγὼ δὲ συνεθέμην μόνην τὴν θάλατταν ἐκπιεῖν, οὐ μὴν καὶ τοὺς εἰσιόντας εἰς αὐτὴν ποταμούς. οὗτος οὖν ὁ σχολαστικὸς ἀπελθὼν πρότερον ἐπισχέτω τοὺς ποταμοὺς ἅπαντας. εἶτα δ' εὐθὺς ἐγὼ τὴν θάλατταν μόνην ἐκπίομαι. ὁ δὲ ξάνθος τὴν μέλλουσαν ἐκ τούτου τῆς συνθήκης διάλυσιν ἔσεσθαι γνοὺς, ὑπερήσθη. τοῦ δήμου τοίνυν παρὰ τὸν αἰγιαλὸν συῤῥεύσαντος ἐπὶ θέαν τοῦ πραχθήσεσθαι μέλλοντος, καὶ τοῦ ξάνθου κατὰ τὰ διδαχθέντα πρὸς τοῦ αἰσώπου δράσαντος, καὶ εἰπόντος, οἱ σάμιοι ἀνεβόησαν εὐφημοῦντες αὐτὸν καὶ θαυμάζοντες. ὁ δὲ σχολαστικὸς προσπεσὼν τηνικαῦτα τῷ ξάνθῳ.

νενικη-

de opus potero? Verum te nunc rogo, si qua cognitio, si qua prudentia, si qua experientia, præsto sis, ac opem porrige, ut uincã, aut pacta dissoluam. Et Aesopus, Vincere quidem haud licet, sed ut soluas pacta, efficiã. Cum hodie rursus in unum cõueneritis, nullo modo uidearis timere, uerum quæ pactus es ebrius, eadem sobrius quoq; dic. Iube itaq; stramenta, & mensam in littore poni, & pueros paratos cum poculis porrigere tibi marinam aquam. Cum aũt omnem uideris turbam concurrisse ad spectaculum, ipse discũbens iube ex mari impleri poculum. Atq; hoc accepto omnibus audiẽtibus dic pactis præfecto, Quę nam apud uos fœdera iniuimus? Atq; is respondebit tibi, quòd pepigeris mare ebibere. Conuersus igitur tu ad omnes sic dicito, Viri Samij, scitis & uos penitus ꝙ plurimos fluuios prorũpere in mare, ego aũt pepigi mare solum ebibere, non etiã exeuntia in ipsum flumina. Hic itaq; scholasticus eat prius contenturus flumina omnia, deinde statim mare solum ebibam. Xanthus autem futuram ex hoc pacti solutionem cognoscens, uehementer lætatus est. Populo igitur ad littus confluente ad spectaculum eius quod faciendum erat, cumq; Xanthus quæ edoctus fuerat ab Aesopo fecisset ac dixisset, Samij acclamauerunt laudantes ipsum, & admirantes. Sed scholasticus Xanthi pedibus obuolutus,

νενικῆσθαί τε ὡμολόγει, καὶ τὰς συνθήκας ἐδεῖτο λῦσαι, ὃ καὶ πεποίηκε ξάνθος δυσωποῦντος τοῦ δήμου. ἀφικομένων δ' αὐτῶν εἰς τὴν οἰκίαν, αἴσωπος προσελθὼν τῷ ξάνθῳ φησίν, ὁ πάντα σοι τὸν βίον χαρισάμενος ἐγὼ, οὐκοῦν ἄξιός εἰμι δέσποτα τυχεῖν ἐλευθερίας; καὶ ὁ ξάνθος λοιδορήσας αὐτὸν ἀπήλασε, λέγων, μὴ γὰρ οὐ βουλομένῳ μοι ταῦτα πρᾶξαι; ἀλλ' ἔξελθε πρὸ τοῦ πυλῶνος καὶ σκέψαι. κᾂν ἴδῃς δύο κορώνας, ἀνάγγειλόν μοι. ἀγαθὸς γὰρ οἰωνὸς οὗτος. ἐπεὶ εἰ μίαν ἴδῃς, τοῦτο πονηρόν. προσελθὼν οὖν ὁ αἴσωπος, καὶ συμβὰν οὕτω δύο κορώνας ἐπί τινος ἰδὼν δένδρου καθεζομένας, προσελθὼν τῷ ξάνθῳ ἀνήγγειλεν. ἐξιόντι δὲ τῷ ξάνθῳ ἡ ἑτέρα τούτων ἀπέπτη. καὶ ὁ ξάνθος θατέραν μόνην ἰδὼν, ἔφη, οὐκ εἶπάς μοι κατάρατε δύο ἑωρακέναι; καὶ ὅς, οὕτως. ἀλλ' ἡ ἑτέρα ἀπέπτη. καὶ ὁ ξάνθος, ἐπέλιπέ σοι δραπέτα τὸ χλευάζειν με; καὶ κελεύει αὐτὸν γυμνωθέντα τύπτεσθαι. τοῦ δ' αἰσώπου μαστιγουμένου, προσελθών τις ἐκάλει ἐπὶ τὸ δεῖπνον τὸν ξάνθον. καὶ ὁ αἴσωπος ἔτι τυπτόμενος ἀνεβόησεν, οἴμοι τῷ δυστήνῳ. ἐγὼ μὲν γὰρ ὁ τὸ δικόρωνον ἰδὼν, τύπτομαι, σὺ δ' ὁ μίαν ἰδὼν μόνην εἰς εὐωχίαν ἄπει. ἕωλος ἄρ' ἦν ἡ οἰωνοσκοπία. καὶ ὁ ξάνθος τὸ ἀγχίνουν αὐτοῦ θαυμάσας, παύσασθαι κελεύει τυπτόμενον μετὰ δ' οὐ πολλὰς ἡμέρας φιλοσόφους καὶ ῥήτορας καλέσας ὁ ξάνθος, ἐκέλευσε τῷ αἰσώπῳ πρὸ τοῦ πυλῶνος στῆναι, καὶ μηδένα τῶν ἰδιωτῶν εἰσελθεῖν συγχωρῆσαι, ἀλλ' ἢ τοὺς σοφοὺς μόνους. τῇ δὲ ὥρᾳ τοῦ ἀρίστου κλείσας αἴσωπος τὸν πυλῶνα, ἔνδον ἐκαθέζετο. τῶν κεκλημένων δέ τινος ἐλθόντος, καὶ τὴν θύραν κόπτοντος, αἴσωπος

& uictum se confitebatur, & pacta rogabat dissolui. Quod & fecit Xãthus exorante populo. Profectis aũt ipsis in domum, Aesopus audiens Xanthũ inquit, per omnem tibi uitã gratificatus ego, nónne dignus sum ô here consequi libertatẽ? Et Xanthus obiurgãdo ipsum repulit dicẽs, An nolo ipse hoc facere? sed exi ante uestibulũ & speculare, & si uideris duas cornices renuntia mihi, bonũ enim auguriũ hoc; si unã uideas, hoc malũ. Accedẽs igitur Aesopus, atq; cũ forte duas ita cornices super quadã uidisset arbore sedentes, accedẽs Xãtho renũtiauit. Exeunte aũt Xãtho, altera harũ auolauit, & Xanthus alterã solã uidens ait, Nónne dixisti mihi execrãde duas uidisse te? Et is, Ita, sed altera auolauit. Tum Xãthus, Deerat tibi fugitiue deridere me? Et iubet eum denudatũ uerberari. At dũ Aesopus uerberabat̃, ꝓfectus quidã inuitauit ad cœnã Xanthũ. Ab Aesopus inter uerbera exclamauit, Hei mihi misero: ego enim q duas uidi cornices uerberor, tu uero q unã tãtũ, in cõuiuiũ abis: uanũ itaq; fuit auguriũ. Tũ Xanthus solertiã eius admiratus, cessare iubet uerbera. Non multis aũt pòst diebus philosophos & rhetoras cũ inuitasset Xanthus, iussit Aesopo ante uestibulũ stare, & nullũ indoctũ ingredi sinere, sed doctos solos. Hora aũt prãdij clauso uestibulo, Aesopus intus sedebat. Ex inuitatis aũt quodã profecto & ianuã pulsante, Aeso

pus

πος ἔνδοθεν ἔφη, τί σείει ὁ κύων; ὁ δὲ, νομίσας κύων κληθῆναι, ὀργισθεὶς ἀνεχώρησεν. οὕτως οὖν ἕκαστος ἀφικνούμενος, αὖθις ἀπῄει σὺν ὀργῇ, νομίζων ὑβρίζεσθαι, τοῦ αἰσώπου ταυτὰ πάντας ἔνδοθεν ἐρωτῶντος. ἑνὸς δ' αὐτῶν κόψαντος, καὶ τί σείει ὁ κύων ἀκούσαντος, καὶ τήν τε κέρκον καὶ τὰ ὦτα ἀποκριθέντος, αἴσωπος αὐτὸν ὀρθῶς δοκιμάσας ἀποκεκρῖσθαι, ἀνοίξας πρὸς τὸν δεσπότην ἤγαγε, καί φησιν, οὐδεὶς τῶν φιλοσόφων συνεστιαθῆναί σοι ἦλθεν ὦ δέσποτα, πλὴν οὗτος μόνος. καὶ ὁ ξάνθος σφόδρα ἠθύμησε, παραλελογίσθαι οἰηθεὶς ὑπὸ κληθέντων. τῇ δ' ὑστεραίᾳ συνελθόντες οἱ κληθέντες ἐπὶ τὴν διατριβὴν, ἐνεκάλουν τῷ ξάνθῳ, φάσκοντες, ὡς ἔοικας ὦ καθηγητὰ, ἐπεθύμεις μὲν αὐτὸς ἐξουδενῶσαι ἡμᾶς, αἰδούμενος δὲ, τὸν σαπρὸν ἐκεῖ τοῦ πυλῶνος ἔστησας αἴσωπον, ὡς προπηλακίσαι, καὶ κύνας ἡμᾶς ἀποκαλέσαι. καὶ ὁ ξάνθος, ὄναρ τοῦτ' ἐστὶν, ἢ ὕπαρ; κἀκεῖνοι, εἰ μὴ ῥέγχομεν, ὕπαρ. καὶ δὴ τάχος μετακληθεὶς αἴσωπος, καὶ ἐρωτηθεὶς σὺν ὀργῇ, τοῦ χάριν τοὺς φίλους ἀτίμως ἀπέστρεψεν, ἔφη, οὐχὶ σύ μοι δέσποτα ἐνετείλω, μή τινα τῶν ἰδιωτῶν καὶ ἀμαθῶν ἀνδρῶν ἐᾶσαι πρὸς τὴν σὴν συνελθεῖν εὐωχίαν, ἀλλ' ἢ τοὺς σοφοὺς μόνους; καὶ ὁ ξάνθος, καί τινες οὗτοι, οὐ τῶν σοφῶν; καὶ ὁ αἴσωπος, οὐδεμιᾷ μηχανῇ. αὐτῶν καὶ γὰρ κοπτόντων τὴν θύραν, κἀμοῦ ἔνδοθεν ἐρωτῶντος, τί ποτε σείει ὁ κύων, οὐδ' ὁστισοῦν αὐτῶν συνῆκε τὸν λόγον. ἐγὼ γοῦν ὡς ἀμαθῶν πάντων φανέντων, οὐδένα τούτων εἰσήγαγον, πλὴν τὸν σοφῶς τοῦτον ἀποκριθέντα μοι. οὕτως οὖν τοῦ αἰσώπου ἀπολογουμένου, ὀρθῶς ἅπαντες λέγειν αὐτὸν ἐψηφίσαντο

καὶ

pus intus ait, Quid mouet canis? Ille putans canis uocari, iratus discessit. Sic ergo unusquisq; ueniens rursus abibat iratus, putãs iniuria affici, Aesopo eadẽ omnes interrogante. Cum aũt unus ipsorum pulsasset, & quid mouet canis audiuisset, & caudã & aures respõdisset, Aesopus ipsum recte iudicans respondisse, aperta ianua ad herũ duxit, ac inqt, Nullus philosophus ad conuiuiũ tuum uenit o here, præter hunc solũ. Et Xanthus ualde tristatus est, deceptum se existimans ab inuitatis. Postridie cũ uenissent inuitati ad literariũ ludum, accusabãt Xanthũ dicẽtes, ut uideris o præceptor, cupiebas quidem ipse contẽnere nos, sed ueritus, putridum in uestibulo cõstituisti Aesopũ, ut nos iniuria afficeret, & canes uocaret. Et Xanthus, Insomniũ ne id est, an uera res? Tum illi, Nisi stertimus, uera res. Et celeriter uocatus Aesopus, & rogatus cũ ira, cuius rei gratia amicos ignominiose amolitus esset, ait, Non tu mihi here mãdasti, ne quẽ uulgariũ ac indoctũ hominẽ permittere in tuũ cõuenire conuiuiũ, sed solos doctos? Tum Xãthus, Et quales hi? nõne docti? Et Aesopus, Nullo pacto: ipsis etẽm pulsantib. ianuã, & me intus rogitãte, qd nam moueat canis, neq; qsq; eorũ intellexit sermonẽ. Ego igitur cũ indocti oẽs uiderent, nullũ ipsorũ introduxi, nisi hunc qui docte respõdit mihi. Sic igitur cũ Aesopus respõdisset, recte oẽs dicere ipsum cõfirmarũt.

Ac post

καὶ μεθ᾽ ἡμέρας πάλιν τινὰς, ὁ ξάνθος, ἑπομένου τοῦ αἰσώπου, πρὸς τὰ μνήματα παρεγγύς, καὶ ἃ ἐν ταῖς λάρναξιν ἐπιγράμματα ἦν ἀναγινώσκων, ἑαυτὸν ἐτέρπε. τοῦ δ᾽ αἰσώπου ἐν τινι τούτων ἐγκεχαραγμένα στοιχεῖα ταῦτα ἰδόντος, α β δ ο ε θ χ ὑποδείξαντός τε τῷ ξάνθῳ, καὶ ἐρομένου εἰ ἄρα ταῦτα εἰδείη, ὑπομελῶς ἐκεῖνος σκεψάμενος, οὐχ οἷόν τ᾽ ἐγγύς τὴν τούτων εὑρεῖν διασάφησιν, καὶ ὡμολόγησεν ἀπορῆσαι τοῖς ὅλοις. καὶ ὁ αἴσωπος, εἰ διὰ ταύτης τῆς στήλης ὦ δέσποτα θησαυρὸν ὑποδείξω σοι, τίνι με ἀμείψῃ; καὶ ὅς, θάρσει, λήψῃ γὰρ τὴν ἐλευθερίαν σου, καὶ τὸ ἥμισυ τοῦ χρυσίου. τότε ὁ αἴσωπος ἀπεχὼν τῆς στήλης βήματα τέσσαρα, καὶ ὀρύξας, ἀνέλαβέ τε τὸν θησαυρὸν, καὶ ἤνεγκε τῷ δεσπότῃ, λέγων, δός μοι τὴν ἐπαγγελίαν, δι᾽ ἧς εὗρον τὸν θησαυρόν. καὶ ὁ ξάνθος, οὐχ ὅσα κἀμὲ εἰδέναι, εἰ μὴ καὶ τὸν νοῦν τῶν στοιχείων μοι φράσῃς. τὸ γὰρ μαθεῖν τοῦτο, πολὺ τοῦ εὑρήματος ἐμοὶ τιμιώτερον. καὶ ὁ αἴσωπος, ὁ τὸν θησαυρὸν κατορύξας ἐνταῦθα, ὡς σοφὸς ἀνὴρ τὰ στοιχεῖα διεχάραξε ταῦτα, ἃ καὶ φησὶν, α ἀποβὰς β βήματα δ τέσσαρα ο ὀρύξας ε εὑρήσεις θ θησαυρὸν χ χρυσίου. καὶ ὁ ξάνθος, ἐπειδήπερ οὕτως ἐπίβολος εἶ καὶ πανοῦργος, οὐ λήψῃ σὺ τὴν ἐλευθερίαν. καὶ ὁ αἴσωπος, ἀπαγγελῶ δοθῆναι ὦ δέσποτα τὸ χρυσίον τῷ βασιλεῖ βυζαντίων. ἐκείνῳ γὰρ τεταμίευται. καὶ ὁ ξάνθος, πόθεν τοῦτ᾽ οἶδας; κἀκεῖνος, ἐκ τῶν στοιχείων. τοῦτο γάρ φησιν, α ἀπόδος β βασιλεῖ δ διονυσίῳ ο ὃν ε εὗρες θ θησαυρὸν χ χρυσίου, καὶ ὁ ξάνθος ἀκούσας τοῦ βασιλέως εἶναι τὸ χρυσίον, τῷ αἰσώπῳ ἔφη, λαβὼν τὸ ἥμισυ τοῦ ἑρμαίου

Ac post dies rursum aliquot Xanthus sequēte Aesopo ad monumēta accessit. Et quæ in arcis erant epigrammata legēs, se ipsum delectabat. At Aesopo in quadā ex ipsis insculptas literas has uidente, α β δ ο ε θ χ, ostendenteq; Xantho, atq; rogante, an hasce nouisset, diligēter ille scrutatus, nō potis fuit harum inuenire declarationem, ac fassus est dubitare omnino. Tum Aesopus, Si per hanc columnulā ô here thesaurū ostendā tibi, qua re me remunerabis? Et is, Confide, accipies enim libertatem tuam, atq; dimidiū auri. Tunc Aesopus distans à cippo passus quatuor, & fodiens, accepitq; thesaurum, & tulit hero, dicens, Da mihi promissum, per quod inuenisti thesaurū. Et Xanthus, Non si & ego sapiam, nisi & sensum literarum mihi dixeris; nam scire hoc multo re inuenta mihi pretiosius. Et Aesopus, Qui thesaurū infodit, hic ut uir eruditus literas insculpsit has, quæ & inquiunt, α recedens, β passus, δ quatuor, ο fodiens, ε inuenies, θ thesaurum, χ auri. Et Xanthus, Quia ita solers es & astutus, non accipies tuam libertatem. Et Aesopus, Renūciabo dandum aurum ô domine regi Byzantiorum: illi enim reconditum est. Et Xanthus, Vnde hoc nosti? Et ille, Ex literis; hoc enim inquiunt, α redde, β regi, δ Dionysio, ο quem, ε inuenisti, θ thesaurum, χ auri. Et Xanthus audiens regis esse aurum, Aesopo ait, Accepto dimidio lu-

μαίου, ἡσύχαζον. κἀκεῖνος, οὐ σύ μοι νῦν τοῦτο παρέχεις, ἀλλ' ὁ χρυσίον ἐνταυθοῖ κατορύξας. καὶ ὅπως, ἄκουσον. τοῦτο καὶ λέγει τὰ γράμματα. α, ἀνελόμενοι. β, βαδίσαντες. δ, διέλεσθε. ο, ὃν. ε, εὕρετε. θ, θησαυρόν. χ, χρυσίου. καὶ ὁ ξάνθος, δεῦρο, φησιν, εἰς τὴν οἰκίαν, ὡς ἂν ἐγὼ τὸν θησαυρὸν διελώμεθα. καὶ σὺ τὴν ἐλευθερίαν ἀπολάβῃς. ἐλθόντων οὖν, ὁ ξάνθος φοβούμενος τὸ τοῦ αἰσώπου λάλον, εἰς εἱρκτὴν αὐτὸν ἐκέλευσεν ἐμβληθῆναι. καὶ ὁ αἴσωπος ἀπαγόμενος, τοιαῦταί φησίν εἰσιν αἱ ὑποσχέσεις τῶν φιλοσόφων; οὐχ ὅτι γὰρ οὐκ ἀπολαμβάνω μου τὴν ἐλευθερίαν, ἀλλὰ καὶ εἰς δεσμωτήριον κελεύεις βληθῆναί με. ὁ μὲν οὖν ξάνθος ἐκέλευσεν αὐτὸν ἀπολυθῆναι, καὶ πρὸς αὐτὸν ἔφη. πάνυ καλῶς φῂς, ἵνα ἐλευθερίας τυχὼν, σφοδρότερός μου γένῃ κατήγορος. ὁ δὲ αἴσωπος εἶπεν, ὦ, τί ποτέ με ἔχεις κακὸν ποιεῖν, ποίει. πάντως καὶ ἄκων ἐλευθερώσεις με. κατὰ δὲ τοὺς καιροὺς τούτους συνέπεσέ τι τοιοῦτο ἐν σάμῳ. πανδήμου ἑορτῆς ἀγομένης αἴφνης ἀετὸς καταπτὰς, καὶ τὸν δημόσιον ἁρπάσας δακτύλιον, εἰς δούλου κόλπον ἀφῆκεν. οἱ μὲν οὖν σάμιοι θορυβηθέντες, καὶ εἰς πλείστην περὶ τοῦ σημείου πεσόντες τὴν ἀγωνίαν, κατὰ ταυτὸν ἀθροισθέντες, ἤρξαντο δεῖσθαι τοῦ ξάνθου, ἅτε πρώτου τῶν πολιτῶν ὄντος καὶ φιλοσόφου, σφίσι τὴν κρίσιν τοῦ σημείου διασαφῆσαι. ὁ δὲ, τοῖς ὅλοις ἐπαπορῶν, χρόνον ᾔτησε. καὶ ἀφικόμενος οἴκαδε, πολὺς ἦν ἀθυμῶν, καὶ τῇ λύπῃ βαπτιζόμενος, οἷα δὴ μηδὲν κρῖναι δυνάμενος. ὁ δ' αἴσωπος τὴν ἀθυμίαν συννοήσας τοῦ ξάνθου, προσελθὼν, λέγει. τοῦ χάριν ὦ δέσποτα οὕτω διατελεῖς ἀθυμῶν; ἐμοὶ προσανάθου, χαίρειν εἰπὼν τῷ λυπεῖσθαι

αὔριον

cri, taceto. Et ille, Nõ tu mihi nũc hoc præbes, ſed qui aurũ hic infodit, Ac quemadmodũ, au di: hoc eñ dicunt literæ, α acceptũ, β uadẽtes, δ diuidite, ο quem, ε inueniſtis, θ theſaurũ, χ au ri. Et Xanthus, Venias, inqt, in domũ ut & theſaurũ diuidamus, & tu libertatẽ accipias. Profectis ergo, Xanthus timẽs Aeſopi loquacitatẽ in carcerẽ ipſum iuſſit inijci. Et Aeſopus inter abducẽdum, Huiuſmodi, inquit, ſunt promiſſa philoſophorũ? non ſolum eñ non accipio meã libertatẽ, ſed & in carcerẽ iubes inijci me. Xanthus igitur iuſſit ipſum ſolui, & ait ei, Nimirũ recte inquis, ut parta libertate uehementior ſis cõtra me accuſator. Tũ Aeſopus dixit, Quodcunq; mihi potes facere, fac malũ: omnino uel inuitus liberabis me. Ea uero tẽpeſtate huiuſmodi res Sami obtigit. Cum publice feſtũ celebraretur, repente aquila deuolãs, & publicum rapiens annulũ, in ſerui ſinum demiſit. Itaq; Samij perterriti, & in plurimũ ob hoc prodigium cum incidiſſent mœrorem, in unum coacti cœperunt rogare Xanthum, q; primus ciuiũ eſſet & philoſophus, ut ſibi iudicium prodigij manifeſtaret. At ille omnino ambigens tempus petijt. Et profectus domum, multum erat triſtis, & ſolicitudinibus immerſus, ut qui nihil iudicare poſſet. Sed Aeſopus mœrore Xanthi cognito, audiẽs ait, Qua cauſa, ô here, ſic perſeueras triſtari? mihi cõmitte, ualere iuſſo mœrore.

αὔριον δ᾽ εἰς ἀγορὰν προσελθὼν, εἰπὲ τοῖς Σαμίοις, ὡς ἐγὼ μὲν οὔτε σημειολυτεῖν ἐπαιδεύθην, οὔτ᾽ οἰωνοσκοπεῖν, παῖς δέ μοι πρόσεστι πολλῶν πεῖραν εἰδὼς, αὐτὸς ὑμῖν τὸ ζητούμενον λύσει. κἂν μὲν αὐτὸς ἐπιτύχω τῆς λύσεως δέσποτα, σὺ τὴν δόξαν ἀκηρίσῃ τούτῳ χρώμενος δούλῳ. ἂν ἀποτύχω, ἐμοὶ μόνῳ ἡ δὲ τοῦ δόξα προστριβήσεται ὕβρις. πεισθεὶς οὖν ὁ ξάνθος, καὶ τῇ ὑστεραίᾳ εἰς τὸ θέατρον ἀπαντήσας, καὶ καταστὰς εἰς τὸ μέσον κατὰ τὰς ὑποθήκας αἰσώπου διελέχθη τοῖς συνελθοῦσιν. οἱ δ᾽ εὐθέως ἠξίουν τὸν αἴσωπον κληθῆναι. τοῦ δ᾽ ἀφικομένου καὶ στάντος ἐν τῷ μέσῳ, οἱ σάμιοι τὴν ὄψιν αὐτοῦ κατανοήσαντες, ἐγγελῶντες ἐφώνουν, αὕτη ἡ ὄψις σημεῖον λύσει; ἐκ τοῦ αἰσχροῦ τούτου τί ποτε καλὸν ἀκουσόμεθα; καὶ γελᾶν ἤρξαντο. καὶ ὁ αἴσωπος κατασείσας τῇ χειρὶ, καὶ ἡσυχίαν αἰτήσας γενέσθαι, φησίν. ἄνδρες σάμιοι, τί μου τὴν ὄψιν σκώπτετε; οὐκ εἰς τὴν ὄψιν, ἀλλ᾽ εἰς τὸν νοῦν ἀποβλέπειν χρή. πολλάκις γὰρ καὶ τῇ φαύλῃ μορφῇ χρηστὸν νοῦν ἡ φύσις ἐνέθηκεν. ἢ τὴν ἔξωθεν τῶν κεραμίων μορφὴν σκοπεῖτε ὑμεῖς, ἀλλ᾽ οὐ τὴν ἐντὸς γεῦσιν τοῦ οἴνου; ταῦτα τοῦ αἰσώπου πάντων ἀκουσάντων, ἔλεγον. αἴσωπε, εἴ τι δύνασαι, λέγε τῇ πόλει. καὶ ὃς μετὰ παρρησίας ἔφη. ἄνδρες σάμιοι, ἐπειδήπερ ἡ τύχη φιλόνεικος οὖσα δόξης ἀγῶνα τέθεικε δεσπότῃ καὶ δούλῳ, κἂν μὲν ὁ δοῦλος ἥττων φανῇ τοῦ δεσπότου, διὰ μαστίγων ἐλεύσεται, εἰ δ᾽ ἀμείνων, οὐδὲν ἔλαττον καὶ οὕτω πληγαῖς ξανθήσεται, εἰ ὑμεῖς διὰ τῆς ἐλευθερίας παρρησίαν χαρίσαισθέ μοι, ἐγὼ νῦν ὑμῖν ἀδεῶς τὸ ζητούμενον φράσω. τότε ὁ δῆμος ἀπὸ μιᾶς γλώττης πρὸς τὸν ξάνθον ἐβόων, ἐλευθέ-

ρωσον

Cras in forum profectus dic Samijs, Ego neq; prodigia soluere didici neq; augurari, sed puer mihi est multarũ rerũ peritus, ipse uobis quæsitum soluet. Et si ipse cõsecutus fuero solutionẽ here, tu gloriã reportabis, tali utens seruo. Sin minus fuero cõsecutus, mihi soli erit dedecus. Persuasus igit̃ Xanthus, & postero die in theatrũ profectus, & astãs in medio secundũ admonitiones Aesopi cõcionatus est ijs qui cõuenerãt. Illi uero statim rogabant Aesopũ acciri, qui cũ uenisset, staretq; in medio, Samij facie ipsius cõsiderata, deridentes clamabãt, Hæc facies prodigiũ soluet? ex deformi hoc qd unq; boni audiemus? atq; ridere cœperũt. Et Aesopus ex tẽta manu silẽtio petito, inqt, Viri Samij, qd faciẽ meam cauillamini? nõ faciẽ, sed animũ respicere oportet, Sępe enim in turpi forma bonum animũ natura imposuit. An uos exteriorem testarũ formã cõsideratis, ac nõ potius interiorẽ uini gustũ? Hæc ab Aesopo cum audissent oẽs dixerũt: Aesope, si qd potes, dic ciuitati. Et ille audacter ait: Viri Samij, qm̃ fortuna, quæ cõtẽtionis studiosa est, gloriæ certamen proposuit dño & seruo: & si seruus inferior uideatur dño, uerberib. cæsus abibit: sin aũt præstãtior, nihilo minus & sic uerberib. lacerabit̃: si uos per meã libertatẽ loquẽdi mihi fiduciã indulseritis, ego nunc uobis intrepide quæsitũ narrabo. Tunc populus uno ore clamabat ad Xanthũ, Liber-

ξωσον αἴσωπον, ὑπακούσον σαμίοις, χαρίσαι τὴν ἐλευθερίαν αὐτῷ τῇ πόλει. ὁ δὲ ξάνθος, οὐκ ἐπήνευε. καὶ ὁ πρύτανις ἔφη. ξάνθε, εἰ μή σοι δοκεῖ ὑπακοῦσαι τῷ δήμῳ, ἐγὼ τῆσδε τῆς ὥρας αἴσωπον ἐλεύθερον ἂν ποιήσαιμι, καὶ τότε σοι ὁμότιμος ἔσται. τηνικαῦτα τοίνυν ὁ ξάνθος ἀνάγκῃ τὴν ἐλευθερίαν ἀπέδωκε. καὶ ὁ κήρυξ ἐβόα, ξάνθος ὁ φιλόσοφος ἐλεύθεροι σαμίοις τὸν αἴσωπον. καὶ τούτῳ πέρας ὁ τοῦ αἰσώπου λόγος εἴληφε, φαμένου πρὸς τὸν ξάνθον, ὡς καὶ ἄκων ἐλευθερώσεις με. αἴσωπος οὖν ἐλευθερίας τυχὼν, στὰς εἰς τὸ μέσον, ἔφη ἄνδρες σάμιοι, ὁ μὲν ἀετὸς ὡς ἴστε, βασιλεὺς τῶν ὀρνίθων ἐστίν. ὅτι δὲ τὸν στρατηγικὸν δακτύλιον οὗτος ἁρπάσας ἀφῆκεν εἰς δούλου κόλπον, τοῦτο σημειῶσαι βούλεται, ὅτι τῶν νῦν βασιλέων τις βούλεται ὑμῶν τὴν ἐλευθερίαν δουλῶσαι, καὶ τοὺς κυρίους νόμους ἀκύρους δεῖξαι. ταῦτα οἱ μὲν σάμιοι ἀκούσαντες, κατηφείας ἐπλήσθησαν. μετὰ δ' οὐ πολὺν χρόνον καὶ γράμματα παρὰ κροίσου τοῦ λυδῶν βασιλέως ἧκει σαμίοις, κελεύοντα τὸ ἀπὸ τοῦδε φόρους αὐτῷ παρέχειν, εἰ δὲ μὴ πείθοιντο, πρὸς μάχην ἑτοίμους εἶναι. ἐβουλεύσαντο μὲν οὖν ἅπαντες. ἔδεισαν γὰρ ὑπήκοοι γενέσθαι τῷ κροίσῳ, συνεῖδον μέντοι εἶναι καὶ αἴσωπον ἐρωτῆσαι. κἀκεῖνος ἐρωτηθεὶς εἶπε. τῶν ἀρχόντων ὑμῶν γνώμην δεδωκότων εἰς φόρου ἀπαγωγὴν ὑπακούειν τῷ βασιλεῖ, συμβουλὴν μὲν οὐδ' ὡς, λόγον δὲ ἐρῶ ὑμῖν, καὶ εἴσεσθε τὸ συμφέρον. ἡ τύχη δύο ὁδοὺς ἔδειξεν ἐν τῷ βίῳ, θατέραν μὲν ἐλευθερίας, ἧς μὲν ἀρχὴ δύσβατος, τὸ δὲ τέλος ὁμαλόν. θατέραν δὲ δουλείας, ἧς ἡ μὲν ἀρχὴ εὐπετής τε καὶ βάσιμος,

τὸ δὲ

tate dona Aesopũ, obtempera Samijs largire libertatem eius ciuitati. At Xanthus non annuebat. & prætor ait, Xanthe si tibi non placet auscultare populo, ego hac hora Aesopũ libertate donabo, & tunc tibi ęqualis fuerit. Tunc igitur Xanthus necessario libertatem reddidit. Et præco clamauit: Xanthus philosopus liberum Samijs largit̃ Aesopũ. Atq; interim finẽ sermo Aesopi accepit dicẽtis Xãtho, Vel inuitus me libertate donabis. Aesopus itaq; libertatẽ cõsequutus, stans in medio ait, Viri Samij, aq̃la ut scitis, regina auiũ est: q̃m aũt imperatoriũ annulum hæc raptũ demisit in serui sinũ: hoc significare uult, quendã ex ijs qui nũc sunt regẽ, uelle uestrã libertatẽ in seruitutẽ redigere, atq; sancitas leges irritas facere. His auditis Samij mœrore repleti sunt. Sed non multo post tẽpore & literæ à Crœso Lydorũ rege uenerunt ad Samios, iubẽtes eis ab illo tepore ut tributa sibi penderent, sin minus obtẽperauerint ut ad pugnã se pararẽt Consultabãt igit̃ uniuersi, timuerũt enim subditi fieri Crœso, cõducibile tñ esse & Aesopũ cõsulere. Et ille consultus ait, cũ principes uestri sentẽtiã dixerint de tributo dãdo obtẽperãdũ esse regi: cõsiliũ iam minime, sed narrationẽ uobis afferã, & scietis q̃d cõducat. Fortuna duas uias ostẽdit ĩ uita, alterã libertatis cuius pĩcipiũ accessũ difficile sed finis planus, alterã seruitutis cui9 pĩcipiũ facile et accessibile,

τὸ δὲ τέλος ἐπώδυνον. ταῦτα ἀκούσαντες οἱ σάμιοι, ἀνεβόησαν. ἡμεῖς ἐλεύθεροι ὄντες, ἑκόντες οὐ γινόμεθα δοῦλοι. καὶ τὸν πρεσβευτὴν οὐ σὺν εἰρήνῃ ἀπέπεμψαν. ὁ μὲν οὖν κροῖσος ταῦτα μαθὼν, ἐβουλεύσατο πόλεμον κατὰ σαμίων κινεῖν. ὁ δὲ πρεσβευτὴς ἀνήνεγκεν, ὡς οὐκ ἂν δυνηθείη σαμίους ὑπὸ χεῖρα λαβεῖν, αἰσώπου παρ᾽ αὐτοῖς ὄντος, καὶ γνώμας ὑποτιθέντος. δύνῃ δὲ μᾶλλον εἶπεν ὦ βασιλεῦ, πρέσβεις ἀποστείλας, ἐξαιτῆσαι παρ᾽ αὐτῶν αἴσωπον, ὑποσχόμενος αὐτοῖς ἀντ᾽ αὐτοῦ χάριτας ἄλλας τε δώσειν, καὶ λύσιν τῶν ἐπιτεταγμένων φόρων. καὶ τότε τάχα οἷός τε ἔσῃ τούτων περιγενέσθαι. καὶ ὁ μὲν κροῖσος κατὰ ταῦτα πρεσβευτὴν ἀποστείλας, ἔκδοτον ᾔτει τὸν αἴσωπον. σάμιοι δὲ τοῦτον ἐκδοῦναι γνώμης ἐγένοντο. αἴσωπος δὲ τοῦτο μαθὼν, ἐν μέσῳ τῆς ἀγορᾶς ἔστη. καὶ φησὶ, ἄνδρες σάμιοι, κἀγὼ μὲν περὶ πολλοῦ ποιοῦμαι παρὰ τοὺς πόδας ἀφικέσθαι τοῦ βασιλέως. ἐθέλω δὲ ὑμῖν ἕνα μῦθον εἰπεῖν. καθ᾽ ὃν χρόνον ὁμόφωνα ἦν τὰ ζῶα, πόλεμον οἱ λύκοι τοῖς προβάτοις συνῆψαν. τῶν δὲ κυνῶν συμμαχούντων τοῖς θρέμμασι, καὶ τοὺς λύκους ἀποσοβούντων, οἱ λύκοι πρεσβευτὴν ἀποστείλαντες, ἔφασαν τοῖς προβάσιν, εἰ βούλοιντο βιοῦν ἐν εἰρήνῃ καὶ μηδένα πόλεμον ὑποπτεύειν, τοὺς κύνας αὐτοῖς ἐκδοῦναι. τῶν δὲ προβάτων ὑπ᾽ ἀνοίας πεισθέντων, καὶ τοὺς κύνας ἐκδεδωκότων οἱ λύκοι τούς τε κύνας διεσπάραξαν, καὶ τὰ πρόβατα ῥᾷστα διέφθειραν. οἱ σάμιοι τοίνυν τὸ τοῦ μύθου βούλημα συννοήσαντες, ὥρμησαν μὲν παρ᾽ ἑαυτοῖς κατασχεῖν τὸν αἴσωπον. ὁ δὲ οὐκ ἠνέσχετο, ἀλλὰ τῷ πρεσβευτῇ συναποπλεύσας, πρὸς κροῖσον ἄπεισι. ἀφικομένων δ᾽ αὐ-

τῶν

finis autem laboriosus. His auditis Samij exclamauerunt nos cum simus liberi, serui esse gratis nolumus, & oratorem infecta pace remiserunt. His ergo cognitis, Crœsus decreuit bellum in Samios mouere, sed legatus retulit, non poteris Samios debellare, quamdiu est apud eos Aesopus, & consilia suggerit. Potes autem magis, ait, ô rex, legatis missis, petere ab ipsis Aesopum, pollicitus eis & gratias alias relaturum, & solutionem iussorum tributorum. Et tunc forte poteris eos superare. Et Crœsus his persuasus, legato misso dedi sibi petebat Aesopum. Samij autem hunc tradere decreuerunt. Quo cognito, Aesopus in media concione stetit, ac inquit: Viri Samij, & ego permulti facio ad regis pedes proficisci. Sed uolo uobis fabulam dicere: Quo tempore animalia inter se loquebantur, lupi bellum ouibus intulerunt, unà uero cum ouibus canibus præliantibus, ac lupos arcentibus, lupi legato misso dixerunt ouibus, si uoluerint uiuere in pace & nullum suspicari bellum, ut canes sibi traderent. Ouibus ob stultitiam persuasis, & canibus traditis, lupi & canes dilacerarunt, & oues facillime occiderunt. Samij igitur, fabulæ sensu cognito, decreuerunt apud se detinere Aesopum. Ille uero non tulit, sed cum legato unà soluit, & ad Crœsum se conferebat. Profectis autem

τῶν εἰς λυδίαν. ὁ βασιλεὺς ἐπιπορευθεὶς αὐτοῦ στάντα τὸν αἴσωπον θεασάμενος, ἠγανάκτησε λέγων, ἴδε ποταπὸν ἄνθρωπον ἐμποδών μοι γέγονε νῦν ὑποτάξαι τοσαύτην; καὶ ὁ αἴσωπος. μέγιστε βασιλεῦ, οὐ βίᾳ οὐδὲ ἀνάγκῃ πρός σε παραγενόμενος, ἀλλ' αὐθαίρετος πάρειμι. ἀνάσχου δέ μου μικρὸν ἀκοῦσαι. ἀνήρ τις ἀκρίδας συλλέγων καὶ ἀποκτεινὺς, εἷλε καὶ τέττιγα. ἐπεὶ δὲ κἀκεῖνον ἠβούλετο κτεῖναι, φησὶν ὁ τέττιξ. ἄνθρωπε μή με μάτην ἀνέλης. ἐγὼ γὰρ οὔτε στάχυν βλάπτω, οὔτ' ἄλλο τι τῶν ἁπάντων σε ἀδικῶ. τῇ κινήσει δὲ τῶν ἐν ἐμοὶ ὑμένων ἡδὺ φθέγγομαι, τέρπων τοὺς ὁδοιπόρους. φωνῆς οὖν παρ' ἐμοὶ πλέον οὐδὲν εὑρήσεις. κἀκεῖνος ταῦτα ἀκούσας, ἀφῆκεν ἀπιέναι. κἀγὼ γοῦν ὦ βασιλεῦ τῶν σῶν ποδῶν ἅπτομαι, μή με εἰκῆ φονεύσῃς, οὐδὲ γὰρ οἷός τ' εἰμὶ ἀδικῆσαί τινα. ἐν εὐτελείᾳ δὲ σώματος γενναῖον φθέγγομαι λόγον. ὁ δὲ βασιλεὺς θαυμάσας ἅμα καὶ οἰκτείρας αὐτὸν, ἔφη. αἴσωπε, οὐκ οὖν ἐγώ σοι δίδωμι τὸ ζῆν, ἀλλ' ἡ μοῖρα, ὃ γοῦν θέλεις, αἴτει καὶ λήψῃ. καὶ ὅς, δέομαί σου βασιλεῦ, διαλλάγηθι σαμίοις. τοῦ δὲ βασιλέως εἰπόντος, διήλλαγμαι, πεσὼν ἐκεῖνος ἐπὶ τὴν γῆν, χάριτάς τε αὐτῷ ὡμολόγει, καὶ μετὰ ταῦτα τοὺς οἰκείους συγγραψάμενος μύθους, τοὺς μέχρι καὶ νῦν φερομένους, παρὰ τῷ βασιλεῖ κατέλιπε. δεξάμενος δὲ παρ' αὐτοῦ γράμματα πρὸς σαμίους, ὡς χάριν αἰσώπου τούτοις διήλλακται, καὶ δῶρα πολλὰ, πλεύσας ἐπανῆλθεν εἰς σάμον. οἱ μὲν οὖν σάμιοι τοῦτον ἰδόντες, στέμματά τε αὐτῷ προσήνεγκαν, καὶ χοροὺς ἐπ' αὐτῷ συνεστήσαντο. ὁ δ' αὖθις τά τε τοῦ βασιλέως ἀνέγνω γράμματα, καὶ ἀπέδειξεν ὡς τὴν εἰς αὐτὸν γενομένην παρὰ

τοῦ δή

in Lydiã, rex ante se stantẽ Aesopũ uidens, indi gnatus est, dicẽs, Vide qualis homũcio impedi mẽto mihi ad tantã insulã subigendã fuit. Tum Aesopus, Maxime rex, non ui neq; necessitate coactus ad te ueni, sed spõte adsum. Patere aũt me parũper audire. Vir qdã cũ locustas capet occideretq;, cepit & cicadã: cũ et illã uellet occi dere, inquit cicada, ô homo ne me frustra occi-das, ego em̃ neq; spicã lædo neq; alia in re qua-piã iniuria te afficio, motu uero quæ in me sunt menbranularũ suauiter cãto delectãs uiatores, præter igit̃ uocẽ in me amplius nihil inuenies. Et ille his auditis permisit abire. Et ego itaq; ô rex, tuos pedes attingo, ne me sine causa occi-das, nõ enim possum iniuria quẽq; afficere, sed in uili corpore generosum loquor sermonem. Rex aũt miratus simul & miseratus ipsum, ait, Aesope non ego tibi largior uitã sed fatũ. ergo quod uis pete, & accipies. Et ille. Rogo te, ô rex, recõciliare Samijs. Cumq; rex dixisset, Re conciliatus sum, procidẽs ille in terrã, gratiasq; ei agebat, & post hæc suas conscripsit fabulas, quas in hũc usq; diem extãtes apud regem reli quit. Acceptis aũt ab ipso literis ad Samios, q Aesopi gratia eis reconciliatus fuerit, atq; mu-neribus multis nauigauit in Samum. Samij igi tur hunc uidentes, coronasq; ei intulerũt, & tri pudia eius gratia constituerũt. Ille aũt & regis literas legit, & ostendit quòd sibi donatam à

populo

τοῦ δήμου ἐλευθερίαν, ἐλευθερίᾳ πάλιν ἠμείψατο. με-
τὰ δὲ ταῦτα τὴν νῆσον ἀπάρας, περιῄει τὴν οἰκουμένην,
τοῖς ἁπανταχοῦ τῶν φιλοσόφων διαλεγόμενος. ἀφι-
κόμενος δὲ καὶ πρὸς Βαβυλῶνα, καὶ τὴν ἑαυτοῦ σοφί-
αν ἐπιδειξάμενος, μέγας παρὰ τῷ βασιλεῖ λυκήρῳ
ἐγένετο. κατ᾽ ἐκείνους γὰρ τοὺς χρόνους οἱ βασιλεῖς πρὸς
ἀλλήλους εἰρήνην ἔχοντες, καὶ τέρψεως χάριν προβλή-
ματα τῶν σοφιστικῶν πρὸς ἀλλήλους γράφοντες ἔπεμ-
πον. ἅπερ οἱ μὲν ἐπιλυόμενοι, φόρους ἐπὶ ῥητοῖς πρὸς
τῶν πεμπόντων ἐλάμβανον. οἱ δὲ μὴ, τοὺς ἴσους παρεῖ-
χον. ὁ τοίνυν αἴσωπος τὰ πεμπόμενα τῶν προβλημάτ-
των λυκήρῳ συνὼν ἐπέλυε. καὶ εὐδοκιμεῖν ἐποίει τὸν
βασιλέα. καὶ αὐτὸς δὲ διὰ λυκήρου ἕτερα τοῖς βασιλεῦ-
σιν ἀντέπεμπεν, ὧν ἀλύτων μενόντων, φόρους ὁ βασι-
λεὺς ὅτι πλείστους εἰσέπραττεν. αἴσωπος δὲ μὴ παι-
δοποιησάμενος, ἕνα τινὰ τῶν εὐγενῶν αἶνον τὴν κλῆ-
σιν εἰσεποιήσατό τε, καὶ ὡς γνήσιον παῖδα τῷ βασι-
λεῖ προσενέγκας, συνέστησε. μετὰ δ᾽ οὐ πολὺν χρόνον
τοῦ αἴνου τῇ τοῦ θεμένου παλλακῇ συμφθαρέντος, αἴ-
σωπος τοῦτο γνοὺς, ἀπελαύνειν ἔμελλε τῆς οἰκίας. ὁ δὲ,
τῇ κατ᾽ ἐκείνου ὀργῇ ληφθεὶς, ἐπιστολήν τε πλασάμε-
νος παρ᾽ αἰσώπου δῆθεν πρὸς τοὺς ἀντισοφιζομένους
λυκήρῳ, ὡς αὐτοῖς ἕτοιμός ἐστι προστίθεσθαι μᾶλλον ἢ τῷ
λυκήρῳ, τῷ βασιλεῖ ἐνεχείρισε, τῷ τοῦ αἰσώπου ταύτην
σφραγισάμενος δακτυλίῳ. ὁ δὲ βασιλεὺς τῇ τε σφρα-
γῖδι πεισθεὶς, καὶ ἀπαραιτήτῳ ὀργῇ χρησάμενος, πα-
ραχρῆμα τῷ ἑρμίππῳ κελεύει μηδὲν ἐξετάσαντα, οἷα
δὴ προδότην διαχειρίσασθαι αἴσωπον. ὁ δὲ ἕρμιππος
φίλος τε ὢν τῷ αἰσώπῳ, καὶ τότε δὴ τὸν φίλον ἐπέ-
δειξεν

populo libertatẽ, libertate rursus remuneratus fuerit. Post hæc uero ab insula dedecens circuibat orbem ubiq; cum philosophis disputando. Profectus & in Babylonẽ, & suam ipsius doctrinam demonstrando magnus apud regem Lycerũ euasit. Illis enim tẽporibus reges inuicem pacẽ habentes, atq; delectatiõis gratia quæstiones uicissim sophistarum scribendo mittebant, quas qui soluerẽt, tributa pacta à mittẽtib. accipiebãt; qui uero non, æqualia præbebãt. Aesopus igitur quę mittebãtur ꝓblemata Lycero intelligens dissoluebat, & clarũ reddebat regem, & ipsi Lyceri nomine altera itidem regibus remittebat. Quæ cum remanerent insoluta, tributa rex q̃plurima exigebat. Aesopus autem cũ non genuisset filios, nobilẽ quendã, Ennũ nomine adoptauit, atq; ut legitimũ filiũ regi allatum cõmendauit. Non multo autem post tempore Ennus cum adoptãtis concubina rem habuit: hoc sciens Aesopus expulsurus erat domo Ennum. Qui in illum ira correptus, epistolam fictam ab Aesopo scilicet ad eos, qui sophismatis cum Lycero certabant, ꝙ ipsis paratus esset adhærere magis q̃ Lycero, regi dedit Aesopi signatam annulo. Rex & sigillo credẽs, atq; inexorabili ira percitus, statim Hermippo iubet, ut nulla examinatione facta, proditorem occideret Aesopum. At Hermippus & amicus fuerat Aesopo, & tunc se amicum ostendit

δείξειν. ἐν τινι γὰρ τῶν τάφων μηδενὸς εἰδότος κρύψας τὸν ἄνθρωπον, ἐν ἀρρήτοις ἔτρεφεν. ὕστερον δὲ, τοῦ βασιλέως κελεύσαντος, πᾶσαν τὴν διοίκησιν αἰσώπου παρέλαβε. μετὰ δέ τινα χρόνον νεκτεναβὼ βασιλεὺς αἰγυπτίων πυθόμενος αἴσωπον τεθνηκέναι, πέμπει λυκήρῳ παραχρῆμα ἐπιστολὴν, οἰκοδόμους αὐτῷ ἀποστεῖλαι κελεύουσαν, οἳ πύργον οἰκοδομήσουσι, μήτ' οὐρανοῦ, μήτε γῆς ἁπτόμενον, καὶ τὸν ἀποκρινούμενον ἀεὶ πρὸς πάνθ' ὅσα ἂν ἐρωτῶσι. καὶ τοῦτο ποιήσαντα, φόρους εἰσπράττειν, εἰ δὲ μὴ, κατατίθεσθαι. ταῦτα τῷ λυκήρῳ ἀναγνωσθέντα, ἀθυμίαν ἐνέβαλε, μηδενὸς τῶν φίλων δυναμένου τὸ πρόβλημα τὸ περὶ τοῦ πύργου συνεῖναι. ὁ μέντοι βασιλεὺς, καὶ κίονα τῆς ἑαυτοῦ βασιλείας ἔλεγεν ἀπολωλεκέναι τὸν αἴσωπον. ἕρμιππος δὲ τὴν τοῦ βασιλέως δι' αἴσωπον λύπην μαθὼν, προσῆλθέ τε τῷ βασιλεῖ, καὶ ζῆν ἐκεῖνον εὐηγγελίσατο, προσθεὶς αὐτοῦ δὴ χάριν αὐτὸν οὐκ ἀνελεῖν εἰδὼς ὡς μελήσει ποτὲ τῷ βασιλεῖ τῆς ἀποφάσεως. τοῦ δὲ βασιλέως διαφόρως ἐπὶ τούτοις ἡσθέντος, αἴσωπος ῥυπῶν καὶ αὐχμῶν ὅλος προσηνέχθη, καὶ τοῦ βασιλέως ὡς εἶδεν αὐτὸν, δακρύσαντος, λούσασθαί τε καὶ τῆς ἄλλης ἐπιμελείας ἀξιωθῆναι κελεύσαντος, αἴσωπος μετὰ τοῦτο καὶ ὑπὲρ ὧν κατηγορήθη τὰς αἰτίας ἀπελύσατο, ἐφ' οἷς καὶ τοῦ βασιλέως τὸν ἔννον ἀναιρεῖν μέλλοντος, αἴσωπος αὐτῷ συγγνώμην ᾐτήσατο. ἑπομένως δὲ τούτοις, ὁ βασιλεὺς τὴν τοῦ αἰγυπτίου ἐπιστολὴν τῷ αἰσώπῳ ἐπέδωκεν ἀναγνῶναι. ὁ δ' αὐτίκα τὴν λύσιν συνεὶς τοῦ προβλήματος, ἐγέλασέ τε καὶ ἀντιγράφειν ἐκέλευσεν, ὡς ἐπειδὰν χειμὼν παρέλθῃ, πεμφθῆναι τούς τε

τὸν πύρ-

dit. In ſepulchro enim quodam nemine ſciente occultauit hominē, & ſecreto nutriuit. Ennus autem regis iuſſu omnem Aeſopi adminiſtrationem ſuſcepit. Sed quodam poſt tempore Nectenabo rex Aegyptiorum audiens Aeſopum occidiſſe, mittit Lycero ſtatim epiſtolam, architectos ſibi mittere iubentem, qui turrim ædificent, neq; cœlum neq; terram attingentem, & reſponſurum ſemper aliquem ad omnia quæcunq; rogauerint. Quod ſi feciſſet, tributa exigeret: ſin minus, ſolueret. His lectis Lycerus mœrore affectus eſt, cum nullis ex amicis poſſet quæſtionē de turri intelligere. Rex tamē & columnam ſui regni dicebat interijſſe Aeſopū. Hermippus autem dolore regis ob Aeſopū cognito, adijt ad regem, & uiuere illum renunciauit, adiditq; ipſius cauſa Aeſopum non peremiſſe, ſciens quòd peniteret aliquando regem ſententiæ. Rege autem uehementer his lætato, Aeſopus ſordens, ac ſqualens totus adductus eſt: cumq; rex ut eum uidit, illachrymaſſet, atque ut lauaretur aliaq; cura ut afficeretur iuſſiſſet, Aeſopus poſt hoc & de quibus accuſatus fuerat, cauſas confutauit. Ob quæ cum rex Ennum eſſet occiſurus, Aeſopus ei ueniam petijt. Poſt hæc autem rex Aegyptij epiſtolam Aeſopo dedit legendam. At ille ſtatim ſolutione cognita quæſtionis riſit, ac reſcribere iuſſit, cum hyems prӕterijſſet miſſum iri & qui

turrim

τὸν πύργον οἰκοδομήσοντας, καὶ τὸν ἀποκρινούμενον πρὸς τὰ ἐπερωτώμενα. ὁ βασιλεὺς οὖν τοὺς μὲν αἰγυπτίους πρέσβεις ἀπέστειλεν. αἰσώπῳ δὲ τὴν ἐξ ἀρχῆς διοίκησιν ἐνεχείρισεν ἅπασαν, ἔκδοτον αὐτῷ παραδοὺς καὶ τὸν αἶνον. ὁ δὲ αἴσωπος παραλαβὼν τὸν αἶνον, οὐδὲν ἀηδὲς αὐτὸν ἔδρασεν, ἀλλ' ὡς υἱὸν πάλιν προσχὼν, ἄλλους τε καὶ τούτους ὑπετίθει τοὺς λόγους.

Τέκνον, πρὸ πάντων σέβου τὸ θεῖον. τὸν βασιλέα δὲ τίμα. καὶ τοῖς μὲν ἐχθροῖς σου δεινὸν σεαυτὸν παρασκεύαζε. ἵνα μὴ καταφρονῶσι σου. τοῖς δὲ φίλοις πρᾶον καὶ εὐμετάδοτον, ὡς εὐνουστέρους σοι μᾶλλον γίνεσθαι. ἔτι τοὺς μὲν ἐχθροὺς νοσεῖν εὔχου καὶ πένεσθαι, ὡς μὴ οἵους τε εἶναι λυπεῖν σε. τοὺς δὲ φίλους κατὰ πάντα εὖ πράττειν βούλου. ἀεὶ τῇ γυναικί σου χρηστῶς ὁμίλει, ὅπως ἑτέρου ἀνδρὸς πεῖραν μὴ ζητήσῃ λαβεῖν. κοῦφον γὰρ τὸ τῶν γυναικῶν ἐστι φῦλον, καὶ κολακευόμενον ἐλάττω φρονεῖ κακά. ὀξεῖαν πρὸς λόγον κτῆσαι τὴν ἀκοήν. τῆς δὲ γλώττης ἐγκρατὴς ἔσο. τοῖς εὖ πράττουσι μὴ φθόνει, ἀλλὰ σύγχαιρε. φθονῶν γὰρ σεαυτὸν μᾶλλον βλάψεις. τῶν οἰκετῶν σου ἐπιμελοῦ, ἵνα μὴ μόνον ὡς δεσπότην σε φοβῶνται, ἀλλὰ καὶ ὡς εὐεργέτην αἰδῶνται. μὴ αἰσχύνου μανθάνειν ἀεὶ τὰ κρείττω. τῇ γυναικὶ μηδέ ποτε πιστεύσῃς ἀπόρρητα, ἀεὶ γὰρ ὁπλίζεται, πῶς σου κυριεύσει. καθ' ἡμέραν καὶ εἰς τὴν αὔριον ἀποταμιεύου. βέλτιον γὰρ τελευτῶντα ἐχθροῖς καταλεῖψαι, ἢ ζῶντα τῶν φίλων δεῖσθαι. εὐπροσήγορος ἔσο τοῖς συναντῶσιν. εἰδὼς ὡς καὶ τῷ κυναρίῳ ἄρτον ἡ οὐρὰ προσπορίζει. ἀγαθὸς γενόμενος μὴ μετανόει. ψίθυρον ἄνδρα ἔκβαλε τῆς οἰκίας. τὰ γὰρ ὑπὸ σου λεγόμενα

καὶ

turrim essent ædificaturi, & responsurũ aliquẽ ad rogata. Rex igitur Aegyptios legatos remisit. Aesopo aũt pristinã administrationẽ tradidit omnem, deditũ ei tradens & Ennũ. At Aesopus acceptũ Ennum nulla in re tristitia affecit, sed ut filio rursus recepto, alijsq; atq; his admonuit uerbis. Fili, ante omnia cole deum. Regẽ honora. Inimicis tuis terribilẽ teipsum præbe, ne te contẽnant: Amicis facilẽ & cõmunicabilẽ, quo lõge beneuolẽtiores tibi sint. Itẽ inimicos male habere precare & esse pauperes ne te possint offendere: at amicos in omnibus bene ualere uelis. Semper uxori tuæ bene adhære, ne alterius uiri periculũ facere uelit: leue enim mulierũ est genus, ac adulatum minus malum cogitat. Velocem ad sermonem possidet auditum: linguę continens esto: bene agẽtibus ne inuide, sed cõgratulare: inuidens enim te ipsum magis offendes: domesticorum tuorum satage, ut te nõ solum ut dominum timeant, sed etiam ut benefactorem uenerẽtur. Ne pudeat discere semp meliora. Mulieri nõ unq; credas secreta, nam semper armatur quo modo tibi dominetur, Quotidie in diẽ crastinũ reconde: melius eñ mortuũ inimicis relinquere, q̃ uiuentẽ amicorũ indigere. Salutato facile q tibi occurrũt, sciẽs & catulo caudã panẽ comparare. Bonũ esse ne pœniteat. Susurronẽ uirum ejce domo tua: nam quæ à te dicuntur,

καὶ πραττόμενα ἑτέροις φόβον ἀναθήσει. πρόσεχε μὴ τὰ λυποῦντά σε. τοῖς δὲ σοῖς συμβαίνουσι μὴ λυποῦ. μήτε πονηρὰ βουλεύσῃ ποτὲ, μήτε τρόπους κακῶν μιμήσῃ. τούτοις τοῦ αἰσώπου τὸν αἶνον νουθετήσαντος, ἐκεῖνος τοῖς τε λόγοις καὶ τῇ οἰκείᾳ συνειδήσει οἷά τινι βέλει πληγεὶς τὴν ψυχὴν, μετ' οὐ πολλὰς ἡμέρας τὸν βίον μετήλλαξεν. αἴσωπος δὲ τοὺς ἰξευτὰς πάντας προσκαλεσάμενος, ἀετῶν νεοττοὺς τέτταρας συλληφθῆναι κελεύει. συλληφθέντας οὖν οὕτως ἔθρεψεν, ὡς λέγεται, καὶ ἐπαίδευσεν, ὅπερ οὐ πάνυ τί με πειθόμενον ἔχει, ὡς παῖδας διὰ θυλάκων αὐτοῖς προσηρτημένων βαστάζοντας εἰς ὕψος αἴρεσθαι. καὶ οὕτως ὑπηκόους τοῖς παισὶν εἶναι, ὡς ὅπουπερ ἂν ἐκεῖνοι βούλοιντο ἵπτασθαι ἄν τε εἰς ὕψος, ἄν τε εἰς γῆν χαμᾶζε. τῆς δὲ χειμερινῆς ὥρας παραδραμούσης καὶ ἦρος διαγελάσαντος, ἅπαντα τὰ πρὸς τὴν ὁδὸν συσκευασάμενος αἴσωπος, καὶ τούς τε παῖδας λαβὼν, καὶ τοὺς ἀετοὺς, ἀπῆρεν εἰς αἴγυπτον, πολλῇ φαντασίᾳ καὶ δόξῃ πρὸς κατάπληξιν τῶν ἐκεῖ κεχρημένος. νεκτεναβὼ δ' ἀκούσας παραγεγονέναι τὸν αἴσωπον, ἐνηδρεύμαι φησὶ τοῖς φίλοις, μεμαθηκὼς αἴσωπον τεθνηκέναι. τῇ δ' ἐπιούσῃ κελεύσας ὁ βασιλεὺς πάντας τοὺς ἐν τέλει λευκὰς περιβαλέσθαι στολὰς, αὐτὸς ἐρέαν ἐνεδύσατο, καὶ διάδημα, καὶ διάλιθον κίταριν. καὶ καθεσθεὶς ἐφ' ὑψηλοῦ δίφρου, καὶ τὸν αἴσωπον εἰσαχθῆναι κελεύσας, τίνι με εἰκάζεις εἰσελθόντι φησὶν αἴσωπε, καὶ τοὺς σὺν ἐμοί; καὶ ὅς, σὲ μὲν ἡλίῳ ἐαρινῷ, τοὺς δὲ περὶ σὲ τούτους, ὡραίοις στάχυσι. καὶ ὁ βασιλεὺς θαυμάσας αὐτὸν, καὶ δώροις ἐδεξιώσατο. τῇ δὲ μετ' ἐκείνην ἡμέρᾳ

πάλιν

ac fiunt,alijs cõmunicabit,Fac,quæ te nõ mœ
stificent.Contingentibus ne tristare. Neq; pra
ua consulas unq;,neq; mores malorũ imiteris.
His ab Aesopo Ennus admonitus, tum sermo
ne,tum sua conscientia,ut sagitta quadam per
cussus,animum, paucis post diebus è uita dis-
cessit. Aesopus autẽ aucupes omneis accersi-
uit,atq; aquilarum pullos quatuor ut caperẽt,
iubet. Sic itaq; captos nutriuit,ut dicitur,ac in
struit,cui rei non magnam fidem adhibemus,
ut pueros in sportis ipsis appensis gestando in
altũ uolarẽt, atq; ita obedientes pueris essent,
ut quocũq; illi uellent,uolarent,siue in altum,
siue in terram in humum, Præterito uero hye-
mali tempore,ac uere arridente,cũ ad iter om-
nia parasset Aesopus, & pueros accepisset &
aquilas,decessit in Aegyptum,multa imagina
tione & opinione ad stupefactionẽ illorum ho
minũ usus. Sed Nectenabo audito adesse Ae-
sopũ, Insidijs circũuentus sum, inquit amicis,
quia intellexerã Aesopum mortuũ esse. Postri-
die aũt iussit rex ut omnes magistratus cãdidis
circũdarent̃ uestibus,ipse ereã induit,& coro-
nam,ac gẽmatã citarim. Cumq; sedens in alto
solio,Aesopum introduci iussisset,Cui me assi
milas,ingredië̃ti inquit Aesope,& eos qui me
cum sunt?Et ille, Te quidẽ,soli uerno:qui uero
te circũstant, maturis aristis. Et rex admiratus
ipsum,donis eũ prosecutus est. Postero aũt die

πάλιν ὁ μὲν βασιλεὺς λευκοτάτην ἐνσκευασάμενος, τοῖς δὲ φίλοις φοινικᾶς κελεύσας λαβεῖν, εἰσελθόντα τὸν αἴσωπον, τὴν προτέραν αὖθις πεῦσιν ἐπύθετο. καὶ ὁ αἴσωπος, σὲ μὲν εἶπεν εἰκάζω ἡλίῳ, τοὺς δὲ περὶ σὲ τούτους ἀκτῖσι. καὶ ὁ νεκτεναβὼ, οἶμαι μηδὲν εἶναι λυκῆρον πρὸς τὴν ἐμὴν βασιλείαν. καὶ ὁ αἴσωπος μειδιάσας, μὴ εὐχερῶς οὕτω περὶ ἐκείνου λέγε ὦ βασιλεῦ, πρὸς μὲν γὰρ τὸ ὑμέτερον ἔθνος ἡ ὑμῶν ἐπιδεικνυμένη βασιλεία, δίκην ἡλίου σελαγεῖ. εἰ δὲ λυκήρῳ παραβληθείη, οὐδὲν ἂν δέοι μὴ τὸ φῶς τοῦτο ζόφον ἀποδειχθῆναι. καὶ ὁ νεκτεναβὼ τὴν τῶν λόγων εὐστοχίαν ἐκπλαγεὶς, ἐνήνοχας ὑμῖν ἔφη τοὺς μέλλοντας τὸν πύργον οἰκοδομεῖν; καὶ ὅς, ἕτοιμοί εἰσιν, εἰ μόνον ὑποδείξεις τὸν τόπον. μετὰ τοῦτο ἐξελθὼν ἔξω τῆς πόλεως ὁ βασιλεὺς ἐπὶ τὸ πεδίον, ὑπέδειξε διαμετρήσας τὸν χῶρον. ἀγαγὼν τοίνυν αἴσωπος ἐπὶ τὰς ὑποδειχθείσας τοῦ τόπου γωνίας τέτταρας, τοὺς τέτταρας τῶν ἀετῶν, ἅμα τοῖς παισὶ διὰ τῶν θυλάκων ἀπηρτημένοις, καὶ οἰκοδόμων τοῖς παισὶ μετὰ χεῖρας δοὺς ἐργαλεῖα, ἐκέλευσεν ἀναπτῆναι. οἱ δὲ πρὸς ὕψος γενόμενοι, δότε ὑμῖν ἐφώνουν λίθους, δότε κονίαν. δότε ξύλα, καὶ τἄλλα τῶν πρὸς οἰκοδομὴν ἐπιτηδείων. ὁ δὲ νεκτεναβὼ τοὺς παῖδας θεασάμενος ὑπὸ τῶν ἀετῶν εἰς ὕψος ἀναφερομένους, ἔφη. πόθεν ἐμοὶ πτηνοὶ ἄνθρωποι; καὶ ὁ αἴσωπος, ἀλλὰ λυκῆρος ἔχει. σὺ δὲ θέλεις ἄνθρωπος ὢν ἰσοθέῳ ἐρίζειν βασιλεῖ; καὶ ὁ νεκτεναβὼ, αἴσωπε, ἥττημαι. ἐρήσομαι δέ σε, σὺ δέ μοι ἀπόκριναι. καί φησιν, εἰσί μοι θήλειαι ὧδε ἵπποι, αἵπερ ἐπειδὰν ἀκούσωσι τῶν ἐν βαβυλῶνι ἵππων

rursus rex candidissimam indutus, amicis purpureas iussit accipere, ingredientem Aesopũ iterum eadem rogauit. Et Aesopus, Te inquit, comparo soli: hos autem qui stant circũm, radijs solaribus. Et Nectenabo, Puto nihil esse Lycerum præ meo regno. Et Aesopus subridens, Ne facile de illo sic loquere, ô rex: nam genti uestræ uestrum regnum collatum instar solis lucet: at si Lycero comparetur, nihĩl aberit quin splendor hic tenebrę appareãt. Et Nectenabo apposita uerborum responsione stupefactus, Attulisti nobis, ait, qui turrim ædificent? Et ille, Parati sunt, si modo ostendas locum. Postea egressus extra urbem rex in planiciem, ostendit dimensum locum. Adductis igitur Aesopus ad ostensos loci angulos quatuor, quatuor aquilis, unà cum pueris per sacculos appensis, ac puerorum manibus sacrorum datis instrumentis, iussit euolare. Illi uero sublimes, Date nobis, clamabant, lapides: date calcem: date ligna, & alia quæ ad ædificationem apta sunt. Sed Nectenabo uisis pueris ab aquilis in altum sublatis, ait, Vnde mihi uolucres homines? Et Aesopus, Sed Lycerus habet: tu autem homo cum sis, uis cum ęquo dijs rege contendere? Et Nectenabo, Aesope uictus sum. percontabor autem te, tu responde. Et ait, Sunt mihi fœminæ hic equæ, quæ cum audiuerint eos, qui in Babylone sunt,

πων χρεμετιζόντων εὐθὺς συλλαμβάνουσιν. εἴ σοι πρὸς τοῦτο πάρεστι σοφία, ἐπίδειξαι. καὶ ὁ αἴσωπος, ἀποκρινοῦμαί σοι αὔριον βασιλεῦ. ἐλθὼν δ' οὖν κατ᾽ οἶκον, αἴλουρον τοῖς παισὶν ἐκέλευσε συλλαβεῖν, καὶ συλληφθέντα, δημοσίᾳ περιάγεσθαι μαστιζόμενον. οἱ δὲ αἰγύπτιοι τὸ ζῶον σεβόμενοι, οὕτω κακῶς πάσχον αὐτὸ θεασάμενοι, συνέδραμον, καὶ τὸν αἴλουρον τῆς χειρὸς τῶν μαστιγούντων ἐκσπάσαντες, ἀναγγέλλουσιν ὡς τάχος τῷ βασιλεῖ τὸ πάθος. ὁ δὲ, καλέσας τὸν αἴσωπον, οὐκ ᾔδεις φησὶν αἴσωπε, ὡς θεὸς σεβόμενος παρ᾽ ἡμῖν ἐστὶν αἴλουρος; ἵνα τί γοῦν τοῦτο πεποίηκας; καὶ ὅς, λυκοῦργον τὸν βασιλέα ἠδίκησεν ὦ βασιλεῦ τῆς παρελθούσης νυκτὸς οὗτος ὁ αἴλουρος. ἀλεκτρυόνα γὰρ αὐτοῦ πεφόνευκε μάχιμον καὶ γενναῖον, προσέτι γε μὴν καὶ τὰς ὥρας αὐτῷ τῆς νυκτὸς σημαίνοντα. καὶ ὁ βασιλεὺς, οὐκ αἰσχύνῃ ψευδόμενος αἴσωπε; πῶς γὰρ ἐν μιᾷ νυκτὶ αἴλουρος ἀπ᾽ αἰγύπτου ἦλθεν εἰς βαβυλῶνα; κἀκεῖνος μειδιάσας φησίν. καὶ πῶς ὦ βασιλεῦ, ἐν βαβυλῶνι τῶν ἵππων χρεμετιζόντων, αἱ ἐνθάδε θήλειαι ἵπποι συλλαμβάνουσιν; ὁ δὲ βασιλεὺς ταῦτα ἀκούσας, τὴν φρόνησιν αὐτοῦ ἐμακάρισε. μετὰ δὲ ταῦτα μεταπεμψάμενος ἀφ᾽ ἡλίου πόλεως ἄνδρας ζητημάτων σοφιστικῶν ἐπιστήμονας, καὶ περὶ τοῦ αἰσώπου διαλεχθεὶς αὐτοῖς, ἐκάλεσεν ἅμα τῷ αἰσώπῳ ἐπ᾽ εὐωχίαν. ἀνακλινθέντων οὖν αὐτῶν, τῶν ἡλίου πολιτῶν τὶς φησὶ πρὸς τὸν αἴσωπον. ἀπεστάλην παρὰ τοῦ θεοῦ μου πεῦσίν τινα πυθέσθαι σου, ὡς ἂν αὐτὴν ἐπιλύσῃς. καὶ ὁ αἴσωπος, ψεύδῃ. θεὸς γὰρ παρὰ ἀνθρώπου οὐδὲν δεῖται μαθεῖν, σὺ δ' οὐ μόνον

σαυτοῦ

equos hinnientes, statim concipiunt. Si tibi ad hoc est doctrina, ostende. Et Aesopus, Respondebo tibi cras ô rex. Profectus uero ubi hospitabatur, felem iubet pueris comprehendi, & captum publicè circumduci uerberando. Aegyptij autem illud animal colentes, sic male tractari ipsum uidentes, concurrerunt, & felem è manu uerberantium eripuerunt, ac rem renūciāt celeriter regi. qui uocato Aesopo, Nesciebas, inquit, Aesope, tanquam deum à nobis coli felem, quare igitur hoc fecisti? Et ille, Lycerum regem iniuria affecit, ô rex, præterita nocte hic felis: gallum enim eius occidit pugnacē & generosum, præterea & horas ei noctis nunciantem. Et rex, Non pudet te mentiri Aesope? quónamodo una nocte felis ab Aegypto iuit in Babylonem? Tum ille subridendo inquit, Et quo modo, ô rex, Babylone equis hinnientibus, hic equæ fœminæ concipiunt? Rex autem his auditis, prudentiam Aesopi felicem esse dixit. Post hæc autem cum acciuisset ex Heliopoli uiros quæstionum sophisticarum peritos, atque de Aesopo cum eis disputasset, inuitauit unà cum Aesopo ad conuiuium. Discumbentibus igitur ipsis quidam Heliopolita inquit Aesopo, missus sum à deo meo quæstionem quandam rogare te, ut ipsam solueres. Et Aesopus, Mentiris: deo enim ab homine nihil opus est discere. Tu autem non solum

σαυτοῦ κατηγορεῖς, ἀλλὰ ἐπὶ τοῦ θεοῦ σου. ἕτερον πάλιν εἶπεν, ἔστι ναός μέγας καὶ ἐν αὐτῷ στύλος, δώδεκα πόλεις ἔχων, ὧν ἑκάστη τριάκοντα δοκοῖς ἐστέγασται. ταύτας δὲ περιΐασι δύο γυναῖκες. καὶ ὁ αἴσωπος ἔφη, τοῦτο τὸ πρόβλημα καὶ οἱ παρ' ἡμῖν ἐπιλύονται παῖδες. ναὸς μὲν γάρ ἐστιν οὗτος ὁ κόσμος, στύλος δ' ὁ ἐνιαυτός, αἱ δὲ πόλεις οἱ μῆνες, καὶ δοκοὶ αἱ τούτων ἡμέραι. ἡμέρα δὲ καὶ νὺξ, αἱ δύο γυναῖκες. αἱ παραλλὰξ ἀλλήλας διέχονται. τῇ δὲ ἐφεξῆς ἡμέρᾳ συγκαλέσας τοὺς φίλους ἅπαντας ὁ νεκτεναβώ, φησί. διὰ τὸν αἴσωπον τοῦτον ὀφλήσομεν φόρους τῷ βασιλεῖ λυκήρῳ. εἷς δέ τις αὐτῶν εἶπε. κελεύσομεν αὐτῷ προβλήματα φράσαι ἡμῖν, περὶ ὧν οὔτ' οἴδαμεν, οὔτ' ἠκούσαμεν. καὶ ὅς, ἄμεινον εἶπε τούτου ὑμῖν ἀρκεῖν οὖν. μαι. ἀπελθὼν οὖν καὶ συνταξάμενος γραμματεῖον, ἐν ᾧ περιέχετο, νεκτεναβὼ ὁμολογῶν χίλια τάλαντα τῷ λυκήρῳ ὀφείλειν, πρωΐας ἐπανελθὼν τῷ βασιλεῖ τὸ γραμματεῖον ἐπιδέδωκεν. οἱ δὲ τοῦ βασιλέως φίλοι πρὶν ἀνοιχθῆναι τὸ γραμματεῖον, πάντες ἔλεγον. καὶ εἴδομεν τοῦτο καὶ ἠκούσαμεν, καὶ ἀληθῶς ἐπιστάμεθα. καὶ ὁ αἴσωπος. χάριν ὑμῖν οἶδα διὰ τῆς ἀποδόσεως γενομένην. ὁ δὲ νεκτεναβὼ τὴν ὁμολογίαν τῆς ὀφειλῆς ἀναγνοὺς, εἶπεν, ἐμοῦ λυκήρῳ μηδὲν ὀφείλοντος, πάντες ὑμεῖς μαρτυρεῖτε; κἀκεῖνοι μεταβαλόντες, εἶπον. οὔτ' εἴδομεν οὔτ' ἠκούσαμεν. καὶ ὁ αἴσωπος, καὶ εἰ ταῦθ' οὕτως ἔχει, λέλυται τὸ ζητούμενον. καὶ ὁ νεκτεναβὼ πρὸς ταῦτα. μακάριός ἐστι λυκῆρος τοιαύτην σοφίαν ἐν τῇ βασιλείᾳ ἑαυτοῦ κεκτημένος, τοὺς οὖν συμφωνηθέντας φόρους παραδοὺς τῷ αἰσώ-

te ipſum accuſas,ſed,& deum tuum. Alius rurſus ait, Eſt templum ingens,& in eo columna, duodecim urbes continens, quarum ſingulæ triginta trabibus fulciuntur, quas circumcurrunt duæ mulieres. Tum Aeſopus ait, Hanc quæſtionem apud nos ſoluent & pueri. Templum enim eſt hic mundus: columna,annus: urbes,menſes: & trabes horum,dies: dies autem & nox, duæ mulieres, quæ uiciſſim ſibi ſuccedunt. Poſtridie conuocatis amicis omnibus, Nectenabo inquit, Propter Aeſopum hũc debebimus tributa regi Lycero. At ex his unus ait, Iubebimus ei quæſtiones dicere nobis ex ijs, quæ neq; ſcimus neque audiuimus. Et ille, Cras hac de re uobis reſpondebo. Decedens igitur,& compoſito ſcripto,in quo continebatur, Nectenabo cõfitens mille talenta Lycero debere: mane reuerſus regi ſcriptum reddidit. Regis autem amici prius quàm aperiretur ſcriptum,omnes dixerunt, Et ſcimus hoc, & audiuimus,& uere ſcimus. Et Aeſopus, Habeo uobis gratiam reſtitutionis cauſa. At Nectenabo confeſſione debiti lecta, ait, Me nihil Lycero debente,omnes uos teſtificamini: Et illi mutati dixerunt, Neq; ſcimus, neq; audiuimus. Et Aeſopus, Et ſi hæc ita ſe habent, ſolutum eſt quæſitum. Et Nectenabo ad hæc, Felix eſt Lycerus talem doctrinam in regno ſuo poſſidens. Ergo pacta tributa tradidit Aeſo-

πῳ, ἐν εἰρήνῃ ἀπέστειλεν. αἴσωπος δ' εἰς Βαβυλῶνα παραγενόμενος, διεξῆλθέ τε λυκήρῳ τὰ ἐν αἰγύπτῳ πραχθέντα πάντα, καὶ τοὺς φόρους ἀπέδωκε. λυκῆρος δ' ἐκέλευσεν ἀνδριάντα χρυσοῦν τοῦ αἰσώπου ἀνατεθῆναι. μετὰ δ' οὐ πολὺν χρόνον αἴσωπος εἰς ἑλλάδα ἐβουλήσατο πλεῦσαι. καὶ δὴ τοῦ βασιλεῖ συνταξάμενος ἀπεδήμησεν, ὅρκον δοὺς αὐτῷ πρότερον, ἦ μὴν ἐπανήξειν εἰς Βαβυλῶνα, κἀκεῖ τοῦ λοιποῦ διαβιώσειν. περιιὼν δὲ τὰς ἑλληνίδας πόλεις, καὶ τὴν ἑαυτοῦ σοφίαν ἐπιδεικνύμενος, ἦλθε καὶ εἰς δελφούς. οἱ δὲ δελφοὶ, διαλεγομένου μὲν ἠκροῶντο ἡδέως. τιμῆς δὲ καὶ θεραπείας εἰς αὐτὸν ἔδρασαν οὐδὲ ποιοῦ. ὁ δὲ, πρὸς αὐτοὺς ὑπολαβὼν ἔφη. ἄνδρες δελφοὶ, ἔπεισί μοι ξύλῳ ὑμᾶς εἰκάζειν τῷ ἐν θαλάττῃ φερομένῳ. κἀκεῖνο γὰρ ὁρῶντες ἐκ πολλοῦ διαστήματος ὑπὸ κυμάτων φερόμενον, πολλοῦ τινος ἄξιον εἶναι οἰόμεθα, ἐπειδὰν δ' ἐγγυτάτω προσέλθῃ, εὐτελέστατον φαίνεται. κἀγὼ νοῦν πόῤῥωθεν τῆς ὑμῶν πόλεως ὤν, ὥς τινας τῶν ἀξίων λόγου ὑμᾶς ἐθαύμαζον. νυνὶ δ' ἐλθὼν ὡς ὑμᾶς, πάντων ὡς εἰπεῖν ἀνθρώπων εὗρον ἀχρειοτέρους. οὕτω πεπλάνημαι. ταῦτα ἀκούσαντες οἱ δελφοὶ, καὶ δείσαντες μή πως αἴσωπος καὶ πρὸς τὰς ἄλλας πόλεις βαδίζων κακῶς αὐτοὺς λέγῃ, βουλὴν ἐβουλεύσαντο δόλῳ τὸν ἄνθρωπον ἀνελεῖν. καὶ δῆτα χρυσῆν φιάλην ἐκ τοῦ παρ' αὐτοῖς ἱεροῦ τοῦ ἀπόλλωνος ἀνελόμενοι, λάθρα τοῖς αἰσώπου κατέκρυψαν στρώμασι. τοῦ δ' αἰσώπου τὰ ὑπ' αὐτῶν ἀγνοοῦντος σκευωρηθέντα, ἐξελθὼν ἐπορεύετο πρὸς φωκίδα. οἱ δελφοὶ δ' ἐπιδραμόντες, καὶ κατασχόντες αὐτὸν, ἀνέκρινον

ὡς

po,atq; in pace remisit. At Aesopus in Babylo nẽ profectus,& narrauit Lycero acta in Aegy= pto omnia,& tributa reddidit. Lycerus autem iussit statuã aureã Aesopo erigi. Nõ multo aũt post tẽpore, Aesopus in Græciã decreuit naui gare,atq; cum rege cõpositione facta discessit, iuratus ei prius proculdubio rediturũ se in Ba bylonẽ,atq; illic reliquũ uitæ uicturũ. Peragra tis aũt Græcis urbibus, & sua doctrina patefa= cta,puenit & Delphos. Verũ Delphi disserẽtẽ quidẽ audierũt libenter,sed honore & obseruã tia eũ affecerũt nulla. Is aũt ad eos suscipiẽs ait, Viri Delphi succurrit mihi ligno uos cõpara= re q in mari ferṫ. Illud etenim uidentes ex mul ta distantia dũ fluctib. agitaṫ, magni pretij esse existimamus, postq; autẽ proxime aduenerit, uilissimũ apparet. Et ego itaq; cũ procul essem ab urbe uestra, ut eos, qui existimatione digni sunt, uos admirabar. Nunc aũt ad uos pfectus, omnib. ut ita dixerim, inueni inutiliores, sic de ceptus sum. Cum hęc audiuissent Delphi, & ti merẽt ne aliquo modo Aesopus et ad alias ur bes accedẽs malede se diceret, decreuerunt do lo hominẽ occidere. Atq; igitur aureã phialã ex eo, quod apud se erat, sacello Apollinis acci piẽtes, clã in Aesopi absconderũt stragulis. Cũ Aesopus uero ignoraret quæ ab ipsis dolo fa= cta fuerãt, egressus ibat in Phocidẽ. At Delphi aggressi, & detinentes ipsum, percontabantur

ut

ὡς ἱεροσυληκότα. τοῦ δ᾽ ἀρνουμένου μηδὲν πεπραχέναι τοιοῦτο, ἐκεῖνοι πρὸς βίαν τὰ στρώματα ἀναπτύξαντος τὴν χρυσῆν εὗρον φιάλην. ἣν καὶ ἀναλαβόντες, τοῖς ἐν τῇ πόλει πᾶσιν ἐπεδείκνυσαν οὐ σὺν ὀλίγῳ θορύβῳ. ὁ μὲν οὖν αἴσωπος τὴν ἐκείνων συννοήσας ἐπιβουλὴν, ἐδεῖτο αὐτῶν ἀπολυθῆναι. οἱ δ᾽ οὐ μόνον οὐκ ἀπέλυσαν, ἀλλ᾽ ὡς ἱεροσυλήσαντα, καὶ εἰς τὸ δεσμωτήριον ἐνέβαλον, θάνατον αὐτοῦ καταψηφισάμενοι. αἴσωπος δὲ μηδεμιᾷ μηχανῇ τῆς πονηρᾶς τῆσδε τύχης σωθῆναι δυνάμενος, ἑαυτὸν ἐπὶ τῆς εἱρκτῆς ἐθρήνει καθήμενος. τῶν συνήθων δέ τις αὐτοῦ δημᾶς τοὔνομα πρὸς αὐτὸν εἰσελθὼν, καὶ ἰδὼν οὕτως ὀλοφυρόμενον, τὴν αἰτίαν τοῦ πάθους ἤρετο. καὶ ὃς ἔφη, γυνή τις προσφάτως τὸν ἑαυτῆς ἄνδρα θάψασα, καθ᾽ ἡμέραν ἀπιοῦσα πρὸς τὸ μνημεῖον, ἐθρήνει. ἀροτριῶν δέ τις οὐ πόῤῥω τοῦ μνήματος, εἰς ἐπιθυμίαν ἧκε τῆς γυναικός. καὶ καταλιπὼν τοὺς βόας, ἦλθε καὶ αὐτὸς πρὸς τὸ μνῆμα, καὶ καθίσας, συνεθρήνει τῇ γυναικί. τῆς δὲ πυνθανομένης τί δή ποτε καὶ αὐτὸς οὕτως ὀδύρεται, ὅτι κἀγώ φησιν εὐπρεπῆ γυναῖκα κατώρυξα. καὶ ἐπειδὰν κλαύσω, τῆς λύπης κουφίζομαι. ἡ δὲ, κἀμοὶ τοῦτ᾽ αὐτὸ προσγίνεται. κἀκεῖνος, εἰ τοίνυν τοῖς αὐτοῖς περιπεπτώκαμεν πάθεσι, τί δή ποτε ἀλλήλοις μὴ συνεῖμεν; ἐγώ τε γὰρ φιλήσω σε ὡς ἐκείνην, κἀμὲ σὺ πάλιν ὡς τὸν σαυτῆς ἄνδρα. ταῦτα ἔπεισε τὴν γυναῖκα, καὶ δὴ συνῆλθον. ἐν τούτῳ δὲ κλέπτης ἐλθὼν, καὶ τοὺς βόας λύσας, ἀπήλασεν. ὁ δ᾽ ἐπανελθὼν, καὶ τοὺς βόας μὴ εὑρηκὼς, κόπτεσθαί τε καὶ οἰμώζειν ἰσχυρῶς ἐνεστήσατο. ἐλθοῦσα δὲ καὶ ἡ γυνὴ,

ut sacrilegũ. Illo autem negante aliquid fecisse eiusmodi, illi ui stragulis euolutis aureã inue-uenerũt phialam, quã etiam acceptã omnibus ciuibus ostenderũt non cum paruo tumultu. Igitur Aesopus cognitis illorum insidijs, roga bat eos, ut solueretur. Hi autem non solum nõ soluerũt, sed ut sacrilegum in carcerem quoq; iniecerunt, morte eius suffragijs decreta. Aeso pus autem cũ nulla astutia à mala hac fortuna liberari posset, se ipsum in carcere lugebat se-dens. Ex familiaribus autem ipsius quidã, Da-mas nomine, ad ipsum ingressus, & uidens eũ sic lamẽtari, causam rei rogauit. Et ille ait, Mu lier quędam cum recenter suum uirum sepeli-uisset, quotidie profecta ad tumulũ, plorabat. Arans autem quidam non procul à sepulchro, amore captus est mulieris, & derelictis bobus iuit & ipse ad tumulũ, ac sedens unà cum mu-liere plorabat. Cum illa rogaret, cur nã & ipse sic lugeret, Quoniam & ego, inquit, decentem mulierem sepeliui, & posteaq; plorauero, mœ stitia leuor. Illa aũt, Et mihi id ipsum accidit. Et ille, Si igitur in eadem incidimus mala, cur nã inuicem non cõiungimur? ego etenim amabo te ut illam, & tu me rursus ut tuum uirum. His persuasit mulieri, & conuenerunt. Interim aũt fur profectus, & boues soluens abegit. Ille aũt reuersus, nõ inuentis bobus, et plãgere & luge re uehemẽter instituit. Profecta igit̃ & mulier,

καὶ ὀλοφυρόμενον εὕρουσα, φησὶ, πάλιν κλαίεις; κἀκεῖνος, νῦν εἶπεν ἐπ' ἀληθείας κλαίω. κἀγὼ γοῦν πολλοὺς διαδρὰς κινδύνους, νῦν τῷ ὄντι θέρμῳ, λύσιν τοῦ κακοῦ μηδαμόθεν εὑρίσκω. μετὰ ταῦτα παρῆσαν καὶ οἱ δελφοὶ, καὶ ἐκβαλόντες αὐτὸν τῆς εἱρκτῆς εἷλκον βιαίως ἐπὶ τοῦ κρημνοῦ. ὁ δὲ πρὸς αὐτοὺς ἔλεγεν. ὅτε ἦν ὁμόφωνα τὰ ζῶα, μῦς βατράχῳ φιλιωθεὶς, εἰς δεῖπνον αὐτὸν ἐκάλεσε. καὶ ἀπαγαγὼν εἰς ταμεῖον πλουσίου, ἔνθα πλεῖστα τῶν ἐδωδίμων ἦν, εὐωχοῦ φησι φίλε βάτραχε. μετὰ δὲ τὴν ἑστίασιν, καὶ ὁ βάτραχος τὸν μῦν ἐπὶ τὴν οἰκείαν ἐκάλεσε δίαιταν. ἀλλ' ἵνα μὴ ἀποκάμῃς φησὶ νηχόμενος, μηρίνθῳ λεπτῇ τὸν σὸν πόδα τῷ ἐμαυτοῦ προσαρτήσω. καὶ τοῦτο πράξας, ἥλατο εἰς τὴν λίμνην. αὐτοῦ δὲ καταδύσαντος εἰς βάθος, ὁ μῦς ἀποπνιγόμενος, καὶ θνήσκων εἶπεν. ἐγὼ μὲν ὑπὸ σοῦ θνήσκω. ἐκδικηθήσομαι δὲ ὑπὸ μείζονος. ἐπιπλέοντος οὖν τοῦ μυὸς ἐν τῇ λίμνῃ νεκροῦ, καταπτὰς ἀετὸς, τοῦτον ἀφήρπασε, σὺν αὐτῷ δὲ προσηρτημένον ὁμοῦ καὶ τὸν βάτραχον. καὶ οὕτως ἄμφω κατεθοινήσατο. κἀγὼ τοίνυν βίᾳ πρὸς ὑμῶν ἀποθνήσκων, ἕξω τὸν ἀμυνοῦντα. βαβυλὼν γὰρ καὶ ἑλλὰς πᾶσα τὸν ἐμὸν παρ' ὑμῶν ἀπαιτήσουσι θάνατον. οἱ μὲν οὖν δελφοὶ, οὐδ' ὡς ἐφείδοντο τοῦ αἰσώπου. ὁ δ' ἐπὶ τὸ τοῦ ἀπόλλωνος κατέφυγεν ἱερόν. οἱ δὲ, κἀκεῖθεν ἀποσπάσαντες μετ' ὀργῆς, ἐπὶ τὸν κρημνὸν αὖθις εἷλκον. ὁ δ' ἀπαγόμενος ἔλεγεν. ἀκούσατέ μου δελφοί. λαγωὸς ὑπ' ἀετοῦ διωκόμενος, πρὸς κοίτην κανθάρου κατέφυγε, δεόμενος ὑπ' αὐτοῦ σωθῆναι. ὁ δὲ κάνθαρος ἠξίου τὸν ἀετὸν

μὴ

& lamentantem inueniens, inquit, iterum ploras? Et ille, Nunc, ait, uere ploro. Et ego itaque multis euitatis periculis nũc uere fleo, solutionem mali necunde inueniẽs. Post hęc affuerũt & Delphi, & extractum ipsum è carcere trahebant in præcipitium. Ille aũt eis dicebat, Quando colloquebantur animalia bruta, mus ranæ amicus factus ad cœnam eam inuitauit, & abducta in penariũ diuitis, ubi multa comestibilia erant, comede, inquit, amica rana. post epulationem & rana murem in suam inuitauit cœnationẽ: sed ne defatigare, inquit, natando, filo tenui tuum pedem meo alligabo. atq; hoc facto saltauit in paludem. Ea aũt urinata in profundum, mus suffocabatur, & moriẽs ait; ego quidem per te morior, sed me uindicabit maior. Supernatante igitur mure in palude mortuo, deuolans aquila hunc arripuit, cum eo autem appensam unà etiam ranam, & sic ambos deuorauit. Et ego igitur, qui ui per uos morior habebo ultorem. Babylon enim & Gręcia omnis meam à uobis exigent mortẽ. Delphi tamen ne sic quidem pepercerũt Aesopo. Ille autem in Apollinis cõfugit sacellum, sed illi & illinc extraxerunt irati, & in præcipitium rursus traxerunt. Aesopus cum abduceretur, dicebat, Audite me Delphi, Lepus aquila insectante in lustrum scarabei confugit, rogans ut ab eo seruaretur. Scarabeus autem rogabat aquilam,

ne

μὴ ἀνελεῖν τὸν ἱκέτην, ὁρκίζων αὐτὸν κατὰ τοῦ μεγίστου Διός, ἢ μὴν μὴ καταφρονῆσαι τῆς μικρότητος αὐτοῦ. ὁ δὲ, μετ' ὀργῆς τῇ πτέρυγι ῥαπίσας τὸν κάνθαρον, τὸν λαγωὸν ἁρπάσας κατέφαγεν. ὁ δὲ κάνθαρος τῷ τε ἀετῷ συναπέπτη, ὡς τὴν καλιὰν τούτου καταμαθεῖν. καὶ δὴ προσελθὼν, τὰ ὠὰ τούτου κατακυλίσας διέφθειρε. τοῦ δὲ δεινὸν ποιησαμένου, εἴ τις τοῦτο τολμήσειε, καὶ ἐπὶ μετεωροτέρου τόπου τὸ δεύτερον νεοττοποιησαμένου, κἀκεῖ πάλιν ὁ κάνθαρος τὰ ἴσα τούτοις διέθηκεν. ὁ δὲ ἀετὸς ἀμηχανήσας τοῖς ὅλοις, ἀναβὰς ἐπὶ τὸν Δία, τούτου γὰρ ἱερὸς εἶναι λέγεται, τοῖς αὐτοῦ γόνασι τὴν τρίτην γονὴν τῶν ὠῶν ἔθηκε, τῷ θεῷ ταῦτα παραθέμενος, καὶ ἱκετεύσας φυλάττειν. ὁ κάνθαρος δὲ κόπρου σφαῖραν ποιήσας, καὶ ἀναβὰς, ἐπὶ τοῦ κόλπου τοῦ Διὸς ταύτην καθῆκεν. ὁ δὲ Ζεὺς ἀναστὰς ἐφ᾽ ᾧ τὴν ὄνθον ἀποτινάξασθαι, καὶ τὰ ὠὰ διέρριψεν ἐκλαθόμενος, ἃ καὶ συνετρίβη πεσόντα. μαθὼν δὲ πρὸς τοῦ κανθάρου, ὅτι ταῦτ' ἔδρασε τὸν ἀετὸν ἀμυνόμενος, οὐ γὰρ δὴ τὸν κάνθαρον ἐκεῖνος μόνον ἠδίκησεν, ἀλλὰ καὶ εἰς τὸν Δία αὐτὸν ἠσέβησε, πρὸς τὸν ἀετὸν εἶπεν ἐλθόντα, κάνθαρον εἶναι τὸν λυποῦντα, ὃν δὴ δικαίως λυπεῖν. μὴ βουλόμενος οὖν τὸ γένος τῶν ἀετῶν σπανισθῆναι, συνεβούλευε τῷ κανθάρῳ διαλλαγὰς πρὸς τὸν ἀετὸν θέσθαι, τοῦ δὲ μὴ πειθομένου, ἐκεῖνος εἰς καιρὸν ἕτερον τὴν τῶν ἀετῶν μετέθηκε τοκετὸν, ἡνίκα ἂν μὴ φαίνωνται κάνθαροι. καὶ ὑμεῖς οὖν ὦ ἄνδρες δελφοὶ, μὴ ἀτιμάσητε τοῦτον δὴ τὸν θεόν, εἰς ὃν κατέφυγον. εἰ καὶ μικροῦ τετύχηκεν ἱεροῦ. οὐδὲ γὰρ ἀσεβεῖς περιόψεται. οἱ δὲ δελφοὶ τούτων ὀλίγα φροντίζοντες, τὴν ἐπὶ τὸν θάνατον

ὁμοίως

ne occideret supplicem, obtestando ipsam per maximũ Iouem, saltem ne despiceret paruitatem suã. Illa uero irata, ala percutiẽs scarabeũ, leporem raptum depasta est. Scarabeus aũt & cum aquila, uolauit, ut nidũ eius disceret, ac iã ꝑfectus oua eius deuoluta diripuit. Illa aũt cũ graue existimaret si quis hoc ausus fuisset, & in altiore loco secũdo nidificasset, et illic rursus scarabeus ijsdem hãc affecit. Sed aquila inops consilij penitus ascendit ad Iouem (in eius enim tutela esse dicit̃) & in ipsius genibus tertiam fœturam ouorũ posuit, deo ipsa commendans, & supplicãs ut custodiret. Sed scarabeus è stercore pilula facta, ascendit, & in sinum Iouis eam demisit. Iupiter assurgens ut fimũ excuteret, & oua abiecit oblitus, quæ & cõtriuit deiecta. Sed cũ didicisset à scarabeo ꝙ hęc fecisset ut aquilam ulcisceretur, non enim scarabeum tantũ illa affecit iniuria, sed & in Iouem ipsum impia fuit, aquilæ reuersæ ait, scarabeũ esse qui affecit mœrore, & certe iure affecisse. Nolens igitur aquilarum genus deficere, consuluit scarabeo, ut aquilæ recõciliaretur. Cum hic nõ paruisset, ille in aliud tempus trãsposuit aquilarũ partum, cum non appareãt scarabei. Et uos igitur ò uiri Delphi, ne despicite hunc deum, ad quem profugi, etsi paruum sortitus est delubrum, neq; enim impios negliget. Delphi uero hæc parum curãtes, rectà ad mortem

ὁμοίως ἦγον. αἴσωπος δὲ μηδένα τῶν ὑπ᾽ αὐτοῦ λεγομένων ὁρῶν καμπτομένους, πάλιν φησίν. ἄνδρες ἀνήμεροι καὶ φονῶντες ἀκούσατε. γεωργός τις ἐπ᾽ ἀγροῦ γεγηρακὼς, ἐπεὶ μηδέποτε εἰσῆλθεν εἰς ἄστυ, παρεκάλει τοὺς οἰκείους τοῦτο θεάσασθαι. οἱ δὲ, ζεύξαντες ὀνάρια, καὶ ἐπὶ τῆς ἀπήνης αὐτὸν ἀναβιβασάμενοι, μόνον ἐκέλευσαν ἐλαύνειν. ὁδεύοντι δὲ, χειμῶνος καὶ θυέλλης τὸν ἀέρα καταλαβόντων, καὶ ζόφου γενομένου, τὰ ὀνάρια τῆς ὁδοῦ πλανηθέντα, εἴς τινα κρημνὸν ἐξετόπισαν τὸν πρεσβύτην. ὁ δὲ μέλλων ἤδη κατακρημνίζεσθαι, ὦ Ζεῦ εἶπε, τί ποτέ σε ἠδίκησα, ὅτι οὕτω παρὰ λόγον ἀπόλλυμαι; καὶ ταῦτα οὔθ᾽ ὑφ᾽ ἵππων γενναίων, οὔθ᾽ ἡμιόνων ἀγαθῶν, ἀλλ᾽ ὀναρίων εὐτελεστάτων. κἀγὼ τοίνυν ἐπὶ τοῖς ἴσοις νῦν δυσχεραίνω, ὅτι μὴ ὑπ᾽ ἐντίμων ἀνδρῶν, ἢ ἐλλογίμων, ἀλλ᾽ ὑπ᾽ ἀχρείων καὶ κακίστων ἀπόλλυμαι. μέλλων δὲ ἤδη κατὰ τοῦ κρημνοῦ ἀφίεσθαι, τοιοῦτον εἴρηκε πάλιν μῦθον. ἀνήρ τις τῆς οἰκείας ἐρασθεὶς θυγατρὸς, εἰς ἀγρὸν ἀποστείλας τὴν γυναῖκα, μόνην δὲ τὴν θυγατέρα ἀπολαβὼν, ἐβιάζετο. ἡ δὲ. πάτερ, εἶπεν, ἀνόσια πράττεις, ηὐχόμην μὲν τοι ὑπὸ πολλῶν ἀνδρῶν αἰσχυνθῆναι, ἢ ὑπὸ σοῦ τοῦ γεννησαμένου. τοῦτο τοίνυν καὶ ἐφ᾽ ὑμῶν ὦ παράνομοι δελφοὶ λέγω, ὡς ᾑρούμην σκύλλην καὶ χάρυβδιν περιελθεῖν, καὶ τὰς ἐν ἀφρικῇ σύρτεις, ἢ παρ᾽ ὑμῶν ἀδίκως καὶ ἀναξίως ἀποθανεῖν. καταρῶμαι γοῦν ὑμῶν τῇ πατρίδι, καὶ θεοῖς μαρτύρομαι, ὡς ἔξω πάσης δίκης ἀπόλλυμαι, οἵ μοι τιμωρήσουσιν εἰσακούσαντες. ἔρριψαν μὲν οὖν αὐτὸν οἱ δελφοὶ κατὰ τοῦ κρημνοῦ, καὶ ἀπέ-

itidem agebant, Aesopus nulla re à se dicta uidens eos flecti, rursus ait: Viri crudeles & interfectores audite, Agricola quidam in agro cõsenuit, cum nunquam ingressus esset in urbem, precabatur domesticos ut eã uideret: at illi iunctis asellis atque in curru eo imposito solum iusserunt agere; eunti aũt procella & turbine aërem occupãtibus & tenebris factis, aselli à uia aberrantes in quoddam præcipitium deduxerunt senem: at ille iam præcipitandus, ô Iupiter, ait, qua in re te iniuria affeci, quoniam sic inique occidor, præsertimque neque ab equis generosis, neque à mulis bonis, sed ab asellis uilissimis. Et ego itaque eodem modo nunc tristor, quoniam non ab honoratis uiris & elegantibus, uerum ab inutilibus & pessimis interficior. Iamque præcipitandus eiusmodi dixit rursus fabulam. Vir quidã suam deamans filiam, rus misit uxorem, solam autẽ filiam receptam uiolauit. Illa autem, Pater, ait, scelesta facis, optarem tamen à multis uiris dedecore hoc affici, quàm à te, qui genuisti. Hoc nunc & in uos, ô iniqui Delphi, dico, quod eligerem in Scyllam & Charybdim potius incidere, ac in Africæ Syrteis, quàm per uos iniuste atque indigne mori. Execror igitur uestram patriam, & deos testor, me præter omnem iustitiam interire, qui me ulciscentur exauditum. Præcipitem igitur ipsum dederunt de rupe, & mor-


θανεῖν. οὐ πολλῷ δ' ὕστερον λοιμῷ συσχεθέντες, χρησμὸν ἔλαβον ἐξιλάσκεσθαι τὸν αἰσώπου θάνατον. ᾧ καὶ ὡς συνειδότες ἑαυτοῖς ἀδίκως φονευθέντι, καὶ στήλην ἀνέστησαν. οἱ δ' ἐν τῇ ἑλλάδι πρωτεύοντες, καὶ ὅσοι τῶν σοφωτέρων, καὶ αὐτοὶ τὰ εἰς αἴσωπον πεπραγμένα μαθόντες, εἴς τε δελφοὺς παρεγένοντο, καὶ σὺν ἐκείνοις σκεψάμενοι, τιμωροὶ καὶ αὐτοὶ τοῦ αἰσώπου θανάτου γεγόνασιν.

ΤΕΛΟΣ ΤΟΥ ΑΙΣΩΠΟΥ.
βίου ὑπὸ Μαξίμου τοῦ Πλανούδου συγγραφέντος.

tuus est. Non multo post autem pestilentia laborantes, oraculum acceperunt expiandã esse Aesopi mortẽ. Cui quòd & conscij sibi essent, iniuste eum interfecisse etiam cippum erexerunt. Sed primates Græciæ, ac doctissimi quique, cum & ipsi quæ in Aesopum facta fuissent, intellexissent, & in Delphos profecti sunt, & cum illis habita inquisitione, ultores & ipsi Aesopi mortis fuerunt.

FINIS AESOPI VITAE à Maximo Planude conscriptæ.

Ἀετὸς καὶ ἀλώπηξ.



Ἀετὸς καὶ ἀλώπηξ φιλιωθέντες, πλησίον ἀλλήλων οἰκεῖν ἔγνωσαν, βεβαίωσιν φιλίας ποιούμενοι τὴν συνήθειαν. ὁ μὲν οὖν ἐφ' ὑψηλοῦ δένδρου τὴν καλιὰν ἐπήξατο, ἡ δὲ ἀλώπηξ ἐν τοῖς ἔγγιστα θάμνοις ἐτεκνοποιήσατο. ἐπὶ νομὴν οὖν ποτε τῆς ἀλώπεκος προελθούσης, ὁ ἀετὸς τροφῆς ἀπορῶν, καταπτὰς ἐπὶ θάμνον, καὶ τὰ τέκνα ταύτης ἀναρπάσας, ἅμα τοῖς αὐτοῦ νεοττοῖς ἐθοινήσατο. ἡ δὲ ἀλώπηξ ἐπανελθοῦσα, καὶ τὸ πραχθὲν μαθοῦσα, οὐ τοσοῦτον ἐπὶ τῷ τῶν τέκνων ἐλυπήθη θανάτῳ, ὅσον ἐπὶ τῷ τῆς ἀμύνης ἀπόρῳ. χερσαία γὰρ οὖσα, πτηνὸν διώκειν οὐχ οἵα τε ἦν. διὸ καὶ πόρρωθεν στᾶσα, τοῦθ' ὃ καὶ τοῖς ἀδυνάτοις ἐστὶν εὔπορον, τῷ ἐχθρῷ κατηρᾶτο. οὐ πολλῷ δ' ὕστερον, αἶγά τινων ἐπ' ἀγροῦ θυόντων, καταπτὰς ὁ ἀετὸς, μέρος τι τῶν θυμάτων σὺν ἐμπύροις ἄνθραξιν ἥρπασε, κἀπὶ τὴν νεοττιὰν ἤγαγεν. ἀνέμου δὲ σφοδροῦ πνεύσαντος τηνικαῦτα, καὶ φλογὸς ἀναφθείσης οἱ ἀετιδεῖς ἄπτηνοι ἔτι τυγχάνοντες, ὀπτηθέντες εἰς γῆν κατέπεσον. ἡ δὲ ἀλώπηξ ἐπιδραμοῦσα, ἐν ὄψει τοῦ ἀετοῦ πάντας κατέφαγεν.

Ἐπιμύθιον.

Ὁ μῦθος

Aquila & uulpes



Quila & uulpes inita amicitia prope habitare decreuerunt, confirmationem amicitiæ faciendo consuetudinem. Aquila super alta arbore nidum affixit; uulpes uero in proximis arbustis filios peperit. Ad pabulum igitur aliquando uulpe profecta, aquila cibi indigens, deuolans in arbusta, & filios huius raptos, unà cum suis pullis deuorauit. Vulpes uero reuersa, & re cognita, non tam filiorum tristata est morte, quàm uindictæ inopia: quia enim terrestris esset, uolucrem persequi haud poterat. Quare procul stans, quod etiã impotentibus est facile, inimicæ maledicebat. Non multo autem pòst, capram quibusdam in agro sacrificantibus, euolans aquila partem uictimæ cum ignitis carbonibus rapuit, & in nidũ tulit. Ventò autem uehementi tunc flante, & flamma excitata, aquilæ pulli inuolucres adhuc cum essent, assati in terram decidunt: uulpes uero accurrens, in conspectu aquilæ omnes deuorauit.

Affabulatio.

ὁ μῦθος δηλοῖ, ὅτι οἱ φιλίαν παρασπονδοῦντες καὶ τὴν ἐκ τῶν ἠδικημένων φύγωσι τιμωρίαν δι' ἀσθένειαν, ἀλλὰ τήν γε θείαν οὐ διακρούσονται.

Ἀετὸς καὶ κάνθαρος.

Λαγωὸς ὑπὸ ἀετοῦ διωκόμενος, πρὸς κοίτην κανθάρου κατέφυγε, δεόμενος ὑπ' αὐτοῦ σωθῆναι. ὁ δὲ κάνθαρος ἠξίου τὸν ἀετὸν μὴ ἀνελεῖν τὸν ἱκέτην, ὁρκίζων αὐτὸν κατὰ τοῦ μεγίστου διὸς, ἢ μὴν μὴ καταφρονῆσαι τῆς μικρότητος αὐτοῦ. ὁ δὲ, μετ' ὀργῆς τῇ πτέρυγι ῥαπίσας τὸν κάνθαρον, τὸν λαγωὸν ἁρπάσας κατέφαγεν. ὁ δὲ κάνθαρος τῷ τε ἀετῷ συναπέπτη, ὡς τὴν καλιὰν τούτου καταμαθεῖν. καὶ δὴ προσελθὼν, τὰ ὠὰ τούτου κατακυλίσας διέφθειρε. τοῦ δὲ δεινὸν ποιησαμένου, εἴ τις τοῦτο τολμήσειε, κἀπὶ μετεωροτέρου τόπου τὸ δεύτερον νεοττοποιησαμένου, κἀκεῖ πάλιν ὁ κάνθαρος τὰ ἴσα τούτων διέθηκεν. ὁ δ' ἀετὸς ἀμηχανήσας τοῖς ὅλοις, ἀναβὰς ὡς τὸν δία, τούτου γὰρ ἱερὸς εἶναι λέγεται, τοῖς αὐτοῦ γόνασι τὴν τρίτην γονὴν τῶν ὠῶν ἔθηκε, τῷ θεῷ ταῦτα παραθέμενος, καὶ ἱκετεύσας φυλάττειν. ὁ κάνθαρος δὲ κόπρου σφαῖραν ποιήσας, καὶ ἀναβὰς, ὡς τοῦ κόλπου τοῦ διὸς ταύτην καθῆκεν. ὁ δὲ ζεὺς ἀναστὰς, ἐφ' ᾧ τὴν ὄνθον ἀποτινάξασθαι, καὶ τὰ ὠὰ διέρριψεν ἐκλαθόμενος, ἃ καὶ συνετρίβη πεσόντα. μαθὼν δὲ πρὸς τοῦ κανθάρου, ὅτι ταῦτ' ἔδρασε τὸν ἀετὸν ἀμυνόμενος, οὐ γὰρ μὴ τὸν κάνθαρον ἐκεῖνος μόνον ἠδίκησεν, ἀλλὰ καὶ εἰς τὸν δία αὐτὸν ἠσέβησε, πρὸς τὸν ἀετὸν εἶπεν ἐλθόντα, κάνθαρον εἶναι τὸν λυποῦντα, καὶ δὴ καὶ δικαίως λυπεῖν. μὴ βουλόμενος οὖν τὸ γένος τὸ τῶν ἀετῶν σπανισθῆναι, συνεβούλευε

τῷ

Fabula significat eos qui amicitiā uiolarint, licet ab affectis iniuria fugiant ultionē ob impotentiam, diuinum tamen suppliciū non depulsuros.

Aquila & scarabeus.

LEpus aquila insectāte in lustrum scarabei profugit, rogans ut ab eo seruaretur. Scarabeus autē rogabat aquilā, ne occideret supplicem, obtestans ipsam per maximū Iouē, ne scilicet contēneret paruitatem suam. Illa uero irata, ala percussit scarabeum, & leporem arreptū deuorauit. At scarabeus & cum aquila uolauit, ut nidū eius disceret, & iam profectus oua ipsi9 deuoluta diripuit. Illa indignè ferēte ꝙ quis hoc ausus fuisset, & in sublimiore loco secundo nido constructo, & illic rursus scarabeus eisdem eam affecit. Aquila aūt consilij inops penitus, ascendit ad Iouem (huius enim sacra esse dicitur) in eius genibus tertiū partum ouorū posuit, deo ipsa commendans, ac supplicans ut custodiret. Scarabeus aūt ex fimo pilula facta & ascēdit & in sinū Iouis eam demisit: sed Iuppiter cum surrexisset ut fimū excuteret, & oua proiecit oblitus, quæ & contriuit deiecta. Cognito à scarabeo ꝙ hoc fecisset ut aquilam ulcisceretur, nam nō modo scarabeū illa iniuria affecit, sed & in Iouē ipsum impia fuit, reuersæ aquilæ ait Iuppiter, scarabeū esse qui mœstitiæ causa fuerit, & certe iure fuisse. Nolens igitur genus aquilarum rarescere, cōsulit

τῷ κανθάρῳ διαλλαγὰς πρὸς τὸν ἀετὸν θέσθαι. τοῦ δὲ μὴ πειθομένου, ἐκεῖνος εἰς καιρὸν ἕτερον τὸν τῶν ἀετῶν μετέθηκε τοκετὸν, ἡνίκα ἂν μὴ φαίνωνται κάνθαροι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, μηδένα δεῖν καταφρονεῖν, λογιζομένους, ὡς οὐδείς ἐστιν, ὃς περιυβρισθεὶς, οὐκ ἂν δυνηθείη ἑαυτῷ ἐπαμῦναι.

Ἀηδὼν καὶ ἱέραξ.

Ἀηδὼν ἐπί τινος δένδρου καθεζομένη, κατὰ τὸ εἰωθὸς ᾖδεν. ἱέραξ δὲ θεασάμενος, καὶ τροφῆς ἀπορῶν, συνείληφεν ἐπιπτάς. ἡ δὲ ἀναιρεῖσθαι μέλλουσα, ἐδεῖτο τοῦ ἱέρακος μὴ βρωθῆναι, μηδὲ γὰρ ἱκανὴν εἶναι ἱέρακος γαστέρα πληροῦν, δεῖν δὲ αὐτὸν τροφῆς προσδεόμενον, ἐπὶ τὰ μείζω τῶν ὀρνέων τραπέσθαι. καὶ ὁ ἱέραξ ὑπολαβὼν εἶπεν. ἀλλ᾽ ἔγωγε ἄφρων ἂν εἴην, εἰ τὴν ἐν χερσὶν ἑτοίμην τροφὴν. ἀφεὶς, τὰ μὴ φαινόμενά πω διώκοιμι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οὕτως ἀλόγιστοί εἰσιν, οἱ δι᾽ ἐλπίδα πλειόνων ἀδήλων, τὰ ἐν χερσὶ προΐενται.

Ἀλώπηξ καὶ τράγος.

Ἀλώπηξ καὶ τράγος διψῶντες εἰς φρέαρ κατέβησαν. μετὰ δὲ τὸ πιεῖν, τοῦ τράγου σκεπτομένου τὴν ἄνοδον, ἡ ἀλώπηξ ἔφη. θάρσει, χρήσιμόν τι καὶ εἰς τὴν ἀμφοτέρων σωτηρίαν ἐπινενόηκα. εἰ γὰρ ὄρθιος σταθεὶς, τοὺς ἐμπροσθίους τῶν ποδῶν τῷ τοίχῳ προσερείσεις, καὶ τὰ κέρατα ὁμοίως εἰς τοὔμπροσθεν κλινεῖς, ἀναδραμοῦσα διὰ τῶν σῶν αὐτὴ νώτων

ſcarabeo,ut aquilę conciliaret. Sed eo nō pa-
rente, Iupiter in aliud tempus aquilarū tranſ-
mutauit partum,cum ſcarabei non appareant.

Affabulatio.

Fabula ſignificat nullum eſſe cōtemnendum, conſiderando non eſſe quenquam,qui laceſſitus ſe ulciſci non queat.

Philomela & accipiter.

PHilomela ſuper arbore ſedens de more canebat. Accipiter autem uidens,ac cibi indigens,uolando corripuit. Quæ cum occidenda foret,orabat accipitrē,ne deuoraretur: neq; em̄ ſatis eſſe ad accipitris uentrē implendum, ſed oportere ipſum cibo egentem ad maiores aues conuerti. At accipiter ſuſcipiens ait, Sed ego certe demēs eſſem,ſi qui in manibus paratus eſt,cibo dimiſſo,quę nō uident,perſequar.

Affabulatio.

Fabula ſignificat pleroſq; homines eodē modo eſſe inconſultos, qui ſpe maiorum incertorum,quę in manibus habentur amittant.

Vulpes & hircus.

VVlpes & hircus ſitiētes in puteū deſcenderunt ſed poſtquā biberunt,hirco indagante aſcenſum, uulpes ait, Cōfide,utile quid in utriuſq; etiam ſalutē excogitaui: ſi enim rectus ſteteris, & anteriores pedes parieti firmaueris,& cornua pariter in anteriorē partē inclinaueris,cū percurrerim ipſa per tuos humeros

&

καὶ κεράτων, καὶ ἔξω τοῦ φρέατος ἀκεῖθεν πηδήσασα, καὶ σὲ μετὰ ταῦτα ἀνασπάσω ἐντεῦθεν. τοῦ δὲ τράγου πρὸς τοῦτο ἑτοίμως ὑπηρετησαμένου, ἐκείνη τοῦ φρέατος οὕτως ἐκπηδήσασα, ἐσκίρτα περὶ τὸ στόμιον ἡδομένη. ὁ δὲ τράγος αὐτὴν ἐμέμφετο, ὡς παραβαίνουσαν τὰς συνθήκας. ἡ δ' ἀλλ' εἰ τοσαύτας εἶπε φρένας ἐκέκτησο, ὁπόσας ἐν τῷ πώγωνι τρίχας, οὐ πρότερον ἂν κατέβης, πρὶν ἢ τὴν ἄνοδον σκέψασθαι.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τὸν φρόνιμον ἄνδρα δεῖ πρότερον τὰ τέλη σκοποῦντα τῶν πραγμάτων, εἶθ' οὕτως αὐτοῖς ἐγχειρεῖν.

Αλώπηξ καὶ λέων.

Αλώπηξ μήπω θεασαμένη λέοντα, ἐπειδὴ κατά τινα τύχην αὐτῷ συνήντησε, τὸ μὲν πρῶτον οὕτως ἐφοβήθη, ὡς μικροῦ καὶ ἀποθανεῖν. ἔπειτα τὸ δεύτερον θεασαμένη, ἐφοβήθη μὲν, οὐ μὴν ὡς τὸ πρότερον. ἐκ τρίτου δὲ τοῦτον θεασαμένη, οὕτως αὐτοῦ κατεθάρρησεν, ὡς καὶ προσελθοῦσα διαλεχθῆναι.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι ἡ συνήθεια καὶ τὰ φοβερὰ τῶν πραγμάτων εὐπρόσιτα ποιεῖ.

Αἴλουρος καὶ ἀλεκτρυών.

Αἴλουρος συλλαβὼν ἀλεκτρυόνα, μετ' εὐλόγου τοῦτον αἰτίας οὐ ἠβούληθη καταφαγεῖν. ἐπεὶ δὴ κατηγόρει αὐτοῦ, λέγων, ὡς ὀχληρὸς εἴη τοῖς ἀνθρώποις, νύκτωρ κεκραγὼς, καὶ μὴ συγχωρῶν ὕπνου τυγχάνειν. τοῦ δ' ἀπολογουμένου, ἐπὶ τῇ ἐκείνων ὠφελείᾳ τοῦτο ποιεῖν, ὡς ἐπὶ τὰ συνήθη τῶν ἔργων ἐγείρεσθαι,

πάλιν

& cornua & extra puteum illinc exiliuerim, et te postea extraham hinc. Ab hirco autẽ ad hoc prompte officio pręstito, illa cum ex puteo sic exiliuisset, exultabat circum os lęta, hircus aũt ipsam accusabat, quòd transgressa fuerit conuentiões. Illa autem, Sed si tot, inquit, mentes possideres quot in barba pilos, non antę descẽdisses quàm ascensum considerasses.

Affabulatio.

Fabula significat sic prudentem uirum oportere prius fines considerare rerum, deinde sic ipsas aggredi.

Vulpes & leo.

VVlpes cum nunquàm uidisset leonem, cum ei casu quodam occurrisset, primum sic timuit ut ferme moreretur: deinde cũ secundo uidisset, timuit certe, nõ tamẽ ut prius: tertio aũt cum ipsum uidisset, sic contra eum ausa est, ut & accederet & colloqueretur.

Affabulatio.

Fabula significat, cõuersatione terribilia quoque accessu facilia fieri.

Feles & gallus.

FEles comprehenso gallo, cum rationabili ipsum causa uolebat deuorare. Cæterũ accusabat ipsum, dicẽdo molestũ esse hominib. nocte clamãtem, neque permittentẽ somno frui. Eo uero respondente ad illorum utilitatẽ id se facere, ut ad consueta opera excitarentur:

rursus

πάλιν ὁ αἴλουρος αἰτίαν ἐπέφερεν, ὡς ἀσεβὴς εἴη περὶ τὴν φύσιν, μητρὶ καὶ ἀδελφαῖς συμμιγνύμενος. τοῦ δὲ, καὶ τοῦτο πρὸς ὠφέλειαν τῶν δεσποτῶν πράττειν φήσαντος, πολλῶν αὐτοῖς ἐντεῦθεν ᾠῶν τικτομένων, ὁ αἴλουρος εἰπὼν, ἀλλ' εἰ σύ γε πολλῶν εὐπορεῖς εὐπροσώπων ἀπολογιῶν, ἔγωγε μὲν οὐ ἄτροφος οὐ μενῶ, τοῦτον κατεθοινήσατο.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι ἡ πονηρὰ φύσις πλημμελεῖν αἱρουμένη, εἰ μὴ μετ' εὐλόγου δυνηθείη προσχήματος, ἀπαρακαλύπτως γε μὴν πονηρεύεται.

Αλώπεκες.

Αλώπηξ ἐν παγίδι ληφθεῖσα, καὶ ἀποκοπείσης τῆς οὐρᾶς διαδρᾶσα, ἀβίωτον ὑπ' αἰσχύνης ἡγεῖτο τὸν βίον. ἔγνω οὖν καὶ τὰς ἄλλας ἀλώπεκας τοῦτ' αὐτὸ νουθετῆσαι, ὡς ἂν τῷ κοινῷ πάθει τὸ ἴδιον συγκαλύψειεν αἶσχος. καὶ δὴ πάσας ἀθροίσασα παρῄνει τὰς οὐρὰς ἀποκόπτειν, ὡς οὐκ ἀπρεπὲς μόνον τοῦτο τὸ μέλος ὂν, ἀλλὰ καὶ περιττὸν βάρος προσηρτημένον. ὑπολαβοῦσα δέ τις αὐτῶν εἶπεν. ὦ αὕτη, ἀλλ' εἰ οὐ σοὶ τοῦτο προσέφερεν, οὐκ ἂν ἡμῖν αὐτὸ συνεβούλευες.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων, οὐ δι' εὔνοιαν τὰς πρὸς τοὺς πέλας ποιοῦνται συμβουλίας, ἀλλὰ διὰ τὸ αὐτοῖς συμφέρον.

Αλώπηξ καὶ βάτος.

Αλώπηξ φραγμὸν ἀναβαίνουσα, ἐπειδὴ ὀλισθήσασα καταπίπτειν ἔμελλε, ἐπελάβετο πρὸς βοήθειαν

rursus feles causam afferebat, quòd impius esset erga naturã, cum matre ac sororibus coëundo. Eo autem & hoc ad utilitatem dominorũ facere dicẽte, cum multa ipsis hinc oua pariantur: feles præfatus, sed si tu multis abundas euidentibus responsionibus, ego tamen ieiunus non perstabo, ipsum deuorauit.

Affabulatio.

Fabula significat prauam naturam peccare uolentem, si non uerisimili cum prætextu facere id possit, aperte tamen malignari.

Vulpes.

VVlpes laqueo capta cum abscissa cauda euasisset, non uiuendam præ pudore existimabat uitam. Decreuit itaq; & alijs uulpib. hoc idem persuadere, ut communi malo suum celaret dedecus. Et iam omnibus collectis suadet caudas abscindere, quod non indecens solum hoc membrum sit, sed & superuacuum onus appensum, Respondens autem ex ipsis quædam ait, Heus tu, nisi tibi hoc conduceret nobis non consuleres,

Affabulatio.

Fabula sgnificat prauos homines non beneuolentia in propinquos cõsulere, sed suo commodo.

Vulpes & rubus.

VVlpes sepe conscensa, cum lapsa casura foret, apprehendit in adiutorium rubum

βάτου. καὶ δὴ τοὺς πόδας ἐπὶ τοῖς ἐκείνης κέντροις αἱμάξασα, καὶ ἀλγήσασα, πρὸς αὐτὴν εἶπεν. οἴμοι, καταφυγοῦσαν με γὰρ ἐπὶ σὲ ὡς ἐπὶ βοηθὸν, σὺ χεῖρον διέθηκας. ἀλλ᾽ ἐσφάλης ὦ αὕτη, φησὶν ἡ βάτος, ἐμοῦ βουληθεῖσα ἐπιλαβέσθαι, ἥτις πάντων ἐπιλαμβάνεσθαι εἴωθα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων μάταιοι ὅσοι βοηθοῖς προστρέχουσιν, οἷς τὸ ἀδικεῖν μᾶλλον ἔμφυτον.

Ἀλώπηξ καὶ κροκόδειλος.

Ἀλώπηξ καὶ κροκόδειλος ἠμφισβήτουν περὶ εὐγενείας. πολλὰ δὲ τοῦ κροκοδείλου ὑπερήφανα περὶ τῆς τῶν προγόνων διεξιόντος λαμπρότητος, ὡς γεγυμνασιαρχηκότων, ἡ ἀλώπηξ ὑπολαβοῦσα, ὦ τᾶν εἶπεν, ἀλλὰ κἂν μὴ σὺ λέγῃς, ἀπὸ τοῦ δέρματός γε φαίνῃ, ὡς ἐκ παλαιῶν ἐτῶν εἶ γεγυμνασμένος.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν ψευδομένων ἀνδρῶν ἔλεγχος τὰ πράγματα γίνεται.

Ἀλεκτρυόνες καὶ πέρδιξ.

Ἀλεκτρυόνας τις ἔχων ἐπὶ τῆς οἰκίας, πριάμενος καὶ πέρδικα, σὺν ἐκείνοις ἀφῆκε νέμεσθαι. τῶν δὲ τυπτόντων αὐτὸν καὶ ἀπελαυνόντων, ἐκεῖνος ἠθύμει σφόδρα, νομίζων ὡς ἀλλόφυλος ταῦτα πάσχειν ὑπὸ τῶν ἀλεκτρυόνων. ὡς δὲ μετὰ μικρὸν κἀκείνους ἑώρακε μαχομένους καὶ ἀλλήλους κόπτοντας, τῆς λύπης ἀπολυθεὶς, εἶπεν. ἀλλ᾽ ἔγωγε ἀπὸ τοῦ νῦν οὐ λυπήσομαι, ὁρῶν καὶ αὐτοὺς μαχομένους ἀλλήλοις.

Ἐπιμύθιον.

rubum. Quare cum pedibus suis illius aculeis laceratis doleret, ad eam dixit, Hei mihi, cõfugi enim ad te tanquam ad auxiliatorem, sed tu peius me tractasti. Sed errasti heus tu, inquit rubus, quæ me apprẽdere uoluisti, qui omnes apprendere soleo.

Affabulatio.

Fabula significat, sic homines quoq; esse stultos, qui ad eos auxilij gratia accurrunt, quibus magis iniuria afficere natura insitum est.

Vulpes & crocodilus.

VVlpes & crocodilus cõtendebant de nobilitate: cũ multa aũt crocodilus superba de progenitorũ narrasset splẽdore, q͏ exercitationũ principes fuerint: uulpes suscipiẽs, ô amicissime, ait, sed si ipse nihil dicas, tamẽ ex cute uideris antiquis tẽporib. esse exercitatus.

Affabulatio.

Fabula significat mendaces uiros res ipsas arguere.

Gallus & perdix.

GAllos quidam habens domi, emptam & perdicẽ cũ illis pasci dimisit: q cũ ipsam uerberarent ac expellerent, illa tristabatur ualde, existimans ut alienigenam hęc se pati à gallis. cum uero paulo post & illos uideret pugnare & se ipsos cædere, mœrore soluta ait, Sed ego posthac non tristabor, uidens & ipsos pugnare inter se.

Affabulatio.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι ῥᾳδίως φέρουσι τὰς παρὰ τῶν ἀλλοτρίων ὕβρεις. ὅταν αὐτοὺς ἴδωσι μηδὲ τῶν οἰκείων ἀπεχομένους.

Ἀλώπηξ.

Ἀλώπηξ εἰς οἰκίαν ἐλθοῦσα ὑποκριτοῦ, καὶ ἕκαστα τῶν αὐτοῦ σκευῶν διερευνωμένη, εὗρε καὶ κεφαλὴν μορμολυκίου εὐφυῶς κατεσκευασμένην, ἣν καὶ ἀναλαβοῦσα ταῖς χερσίν, ἔφη. ὢ οἵα κεφαλή, καὶ ἐγκέφαλον οὐκ ἔχει.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρας μεγαλοπρεπεῖς μὲν τὸ σῶμα, κατὰ δὲ ψυχὴν ἀλογίστους.

Ἀνθρακεὺς καὶ κναφεύς.

Ἀνθρακεὺς ἐπί τινος οἰκῶν οἰκίας, ἠξίου καὶ κναφέα παραγινόμενον αὐτῷ συνοικῆσαι. ὁ δὲ κναφεὺς ὑπολαβὼν ἔφη. ἀλλ᾽ οὐκ ἂν τοῦτο δυναίμην ἔγωγε πρᾶξαι. δέδια γάρ, μή πως ἅπερ ἐγὼ λευκαίνω, αὐτὸς ἀσβόλης πληροῖς.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶν τὸ ἀνόμοιον ἀκοινώνητον.

Ἁλιεῖς.

Ἁλιεῖς εἷλον σαγήνην. βαρείας δὲ αὐτῆς οὔσης, ἔχαιρον καὶ ὠρχοῦντο, πολλὴν εἶναι τὴν ἄγραν νομίζοντες. ὡς δ᾽ ἐπὶ τὸ ᾐόνος ταύτην ἑλκύσαντες, τῶν μὲν ἰχθύων εὗρον ὀλίγους, λίθον δ᾽ ἐν αὐτῇ παμμεγέθη, ἀθυμεῖν ἤρξαντο καὶ ἀλύειν, οὐ τοσοῦτον ἐπὶ τῇ τῶν ἰχθύων ὀλιγότητι, ὅσον ὅτι καὶ τἀναντία προὐπειλήφασιν. εἷς δέ τις ἐν αὐτοῖς πρεσβύτερος εἶπε, μὴ ἀχθώμεθα ὦ ἑταῖροι. τῇ γὰρ ἡδονῇ ὡς ἔοικεν, ἀδελφή

Fabula significat prudentes facile ferre ab alienis iniurias, cum ipsos uideant neq; à suis abstinere.

Vulpes.

VVlpes in domũ mimi profecta, & singula ipsius uasa perscrutata, inuenit & caput laruæ ingeniose fabricatum, quo & accepto manibus ait: ô quale caput & cerebrum non habet.

Affabulatio.

Fabula in uiros magnificos quidem corpore sed animo inconsultos.

Carbonarius & fullo.

CArbonarius in quadam habitans domo, rogabat ut & fullo accederet, et secum cohabitaret: sed fullo respondendo ait, Sed non hoc possem ego facere: timeo enim ne quæ ego dealbo, tu fuligine repleas.

Affabulatio.

Fabula significat omne dissimile esse insociabile.

Piscatores.

PIscatores trahebant uerriculum, quod cũ graue foret gaudebant & exultabãt, multum inesse prædæ existimantes: sed cum in litus ipsum traxissent, piscesq; paucos quidem, sed lapidem in eo permagnum inuenissent, tristari & mœrere cœperunt, non tam pisciũ paucitate, quàm quod & cõtraria antè animo præsumpserant. quidã aũt inter eos natu grandior dixit, Ne tristemur ô socij, nam uoluptati, ut uidetur, soror

ἐστὶν ἡ λύπη. καὶ ἡμᾶς οὖν ἔδει τοσαῦτα πενθήσαντας, πάντως τι καὶ λυπηθῆναι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ λυπεῖσθαι ἐπὶ ταῖς ἀτυχίαις.

Κομπαστής.

Ἀνήρ τις ἀποδημήσας, εἶτα δὲ πάλιν πρὸς τὴν ἑαυτοῦ γῆν ἐπανελθὼν, ἄλλα τε πολλὰ ἐν διαφόροις ἀνδραγαθηκέναι χώραις ἐκόμπαζε, καὶ δὴ καὶ ἐν τῇ ῥόδῳ πεπηδηκέναι πήδημα, οἷον οὐδεὶς τῶν ἐκεῖ αὐτοῦ δυνατὸς ἂν εἴη πηδῆσαι. πρὸς τοῦτο δὲ καὶ μάρτυρας τοὺς ἐκεῖ παρόντας ἔλεγεν ἔχειν. τῶν δὲ παρόντων τις ὑπολαβὼν, ἔφη. ὦ οὗτος, εἰ ἀληθὲς τοῦτ᾽ ἐστὶ, δεῖ σοι μαρτύρων. ἰδοὺ ῥόδος, ἰδοὺ καὶ τὸ πήδημα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἐὰν μὴ πρόχειρος ἡ τοῦ πράγματος ἀπόδειξις ᾖ, πᾶς λόγος περιττός ἐστιν.

Ἀδύνατα ἐπαγγελλόμενος.

Ἀνὴρ πένης νοσῶν, καὶ κακῶς διακείμενος, ἐπεὶ δὴ πρὸς τῶν ἰατρῶν ἀπεγνώσθη, τῶν θεῶν ἐδεῖτο, ὡς εἰς τὴν ὑγίειαν αὐτὸν πάλιν ἐπανελθεῖν ποιήσειαν, ἑκατὸν βόας αὐτοῖς προσοίσειν ὑπισχνούμενος εἰς θυσίαν. τῆς δὲ γυναικὸς αὐτοῦ πυθομένης, καὶ ποῦ σοι ταῦτα ἢν ὑγιάνῃς, ἐκεῖνος ἔφη. οἴει γὰρ ἀναστῆναί με ἐντεῦθεν, ἵν᾽ οἱ θεοὶ ταῦτά με ἀπαιτήσωσιν;

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ ῥᾳδίως κατεπαγγέλλονται, ἅπερ τελέσαι ἔργῳ οὐ προσδοκῶσιν.

Κακοπράγμων.

Ἀνὴρ κακοπράγμων εἰς τὸν ἐν δελφοῖς ἧκεν ἀπόλλωνα

eſt triſtitia,& nos igitur oportebat tantum ante lætatos,aliqua in re etiam triſtari.

Affabulatio.

Fabula ſignificat non oportere triſtari fruſtrata ſpe.

Iactator.

VIr quidam peregrinatus,deinde in ſuam patriã reuerſus, aliaq; multa in diuerſis uiriliter geſſiſſe locis iactabat, atq; etiã Rhodi ſaltaſſe ſaltum,quẽ nullus eius loci potuerit ſaltare. Ad hoc & teſtes,qui ibi interfuerunt,dicat habere. Quidam autem ex ijs qui aderant,ſuſcipiens ait:heus tu,ſi uerum hoc eſt, nõ eſt tibi opus teſtibus.En Rhodus,en ſaltus.

Affabulatio.

Fabula ſignificat,niſi prõpta rei demonſtratio ſit,omnem ſermonẽ uanũ eſſe & ſuperuacuũ.

Impoſſibilia promittens.

VIr pauper ęgrotãs & male affectus, cum à medicis deſperatus eſſet, deos rogabat pollicens ſi ſanitatẽ ſibi rurſus reſtituiſſent,centum boues ipſis oblaturũ eſſe in ſacrificium. Vxore aũt eius rogãte,et ubi tibi hęc ſi conualueris? ille ait, Putas enim ſurgere me hinc, ut dij hæc à me repetant?

Affabulatio.

Fabula ſignificat,multos facile polliceri, quæ re comprobare non ſperent.

Malignus.

VIr malignus ad eũ, q in Delphis eſt,iuit

λωνα, πειρᾶσαι τοῦτον βουλόμενος. καὶ δὴ λαβὼν στρουθίον ἐν τῇ χειρὶ, καὶ τοῦτο τῇ ἐσθῆτι σκεπάσας, ἔστη τε τοῦ τρίποδος ἔγγιστα, καὶ ἤρετο τὸν θεὸν θεὸν, λέγων. ἄπολλον, ὃ μετὰ χεῖρας φέρω, πότερον ἔμπνουν ἐστὶν, ἢ ἄπνουν; βουλόμενος ὡς εἰ μὲν ἄπνουν εἴποι, ζῶν ἀναδεῖξαι τὸ στρουθίον. εἰ δ' ἔμπνουν, εὐθὺς ἀποπνίξας, νεκρὸν ἐκεῖνο προσενεγκεῖν. ὁ δέ γε θεὸς τὴν κακότεχνον αὐτοῦ γνοὺς ἐπίνοιαν, εἶπεν. ὁπότερον ὦ οὗτος βούλῃ ποιῆσαι, ποίησον. παρὰ σοὶ κεῖται γὰρ τοῦτο πρᾶξαι, ἤτοι ζῶν ὃ κατέχεις, ἢ νεκρὸν ὑποδεῖξαι.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι τὸ θεῖον ἀπαραλόγιστον καὶ ἀλάθητον.

Αλιεύς.

Αλιεὺς εἷς ἐξελθόντος εἰς ἄγραν, ἐπειδὴ πολλοῦ χρόνου ταλαιπωρήσαντος, οὐδὲν εἷλον, σφόδρα τε ἠθύμουν, καὶ ἀναχωρῆσαι παρεσκευάζοντο. εὐθὺς δὲ θύννος ὑπὸ τῶν μεγίστων διωκόμενος ἰχθύων, εἰς τὸ πλοῖον αὐτῶν εἰσήλατο. οἱ δὲ τοῦτον λαβόντες, μεθ' ἡδονῆς ἀνεχώρησαν.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι πολλάκις ἃ μὴ τέχνη παρέσχε, ταῦτα τύχη ἐδωρήσατο.

Φιλάξ.

Ανὴρ πένης νοσῶν, ηὔξατο τοῖς θεοῖς εἰ διασωθείη, βοῦς ἑκατὸν εἰς θυσίαν προσοίσειν. οἱ δὲ θεοὶ πειρᾶσαι τοῦτον βουλόμενοι, τοῦ πάθους ἀπήλλαξαν. ὁ δ' ἀναστὰς, ἐπειδὴ βοῶν ἠπόρει, στεατίνους βοῦς ἑκατὸν πλάσας ἐπὶ τοῦ βωμοῦ θεὶς ὡλοκαύτωσεν. οἱ δὲ θεοὶ

βουλόμενοι

Apollinem tentaturus ipſum. Atq; ideo comprehenſo paſſerculo manu, & eo ueſte contecto, ſtetitq; proxime tripodē, ac rogauit deum, dicendo, O Apollo, quod manibus fero, utrū uiuum'ne eſt, an mortuum? Nam ſi mortuum diceret, uiuum oſtenſurus erat paſſerculū. Sin uiuum, ſtatim ſuffocatum mortuum illum eſſerret. Sed deus, maligna ipſius cognita mente ait, Vtrum uis heus tu facere, facito: penes te enim eſt illud facere, ſiue uiuum quod contines, ſiue mortuum oſtendere.

Affabulatio.

Fabula ſignificat deum neque decipi poſſe, necq; quicquam eum latere.

Piſcatores.

PIſcatores egreſſi ad uenationē, cū multo tēpore defatigati nihil cepiſſent, & admodum triſtabantur, & diſcedere apparabant: ſed ſtatim thunnus maximo quodam inſectāte piſce, in nauigiū ipſorum inſiluit, quod capto læti abiere.

Affabulatio.

Fabula ſignificat, ſæpe quæ ars non præbuit, ea donaſſe fortunam.

Deceptor.

VIr pauper ægrotās uobebat dijs, ſi euaderet, boues centum in ſacrificiū oblaturū. ſed dei tētaturi à morbo liberarūt. at ille ſurgēs quoniā bobus carebat, ex paſta boues centum à ſe formatos in ara poſitos ſacrificauit. ſed dei

 ipſum

Βουλόμενοι αὐτὸν ἀμύνασθαι, ὄναρ ἐπιστάντες αὐτῷ εἶπον, ἄπελθε εἰς τὸν αἰγιαλὸν εἰς τόνδε τὸν τόπον. ἐκεῖ γὰρ ἀττικὰς χιλίας εὑρήσεις. ἐκεῖνος δὲ ἐνυπνιασθεὶς, σὺν ἡδονῇ καὶ σπουδῇ πρὸς τὸν ὑποδειχθέντα τόπον ἀφίκετο, τὸ χρυσίον διερευνῶν. ἐκεῖ δὲ δὴ πειραταῖς περιτυχὼν, ὑπ᾽ αὐτῶν συνελήφθη. λυθεὶς δὲ ἤδη, ἀφεθῆναι τῶν πειρατῶν ἐδεῖτο, χίλια χρυσοῦ τάλαντα δώσειν αὐτοῖς ὑπισχνούμενος. ὡς δ᾽ οὐκ ἐπιστεύετο, ἀπαχθεὶς ὑπ᾽ αὐτῶν ἀπεμπολήθη χιλίων δραχμῶν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τοῖς ψεύδεσι τῶν ἀνθρώπων ἐχθραίνει τὸ θεῖον.

Βάτραχοι.

Βάτραχοι δύο ἐν λίμνῃ ἐνέμοντο. θέρους δὲ ξηρανθείσης τῆς λίμνης, ἐκείνην καταλιπόντες, ἐπεζήτουν ἑτέραν. καὶ δὴ βαθεῖ περιέτυχον φρέατι, ὅπερ ἰδὼν ἅτερος θατέρῳ φησί. συγκατέλθωμεν ὦ οὗτος εἰς τόδε τὸ φρέαρ. ὁ δὲ ὑπολαβὼν εἶπεν, ἂν οὖν καὶ τὸ ἐνθάδε ὕδωρ ξηρανθῇ, πῶς ἀναβησόμεθα;

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ἀπερισκέπτως προσιέναι τοῖς πράγμασιν.

Γέρων καὶ θάνατος.

Γέρων ποτὲ ξύλα τεμὼν ἐξ ὄρους, κἀπὶ τῶν ὤμων ἀράμενος, ἐπειδὴ πολλὴν ὁδὸν ἐπηχθισμένος ἐβάδιζεν, ἀπειρηκὼς, ἀπέθετό τε τὰ ξύλα, καὶ τὸν θάνατον ἐλθεῖν ἀπεκαλεῖτο. τοῦ δὲ θανάτου εὐθὺς ἐπιστάντος, καὶ τὴν αἰτίαν πυνθανομένου δι᾽ ἣν αὐτὸν καλοίη, ὁ γέρων ἔφη, ἵνα τὸν φόρτον τοῦτον ἄρας ἐπι-

θῇς

ipsum ulturi, in somnijs adfuerunt ei, dicentes Abi ad littus ad eum locũ, illic enim Atticas mille drachmas inuenies. Ille autẽ excitatus, lætus & alacer ad demonstratum locum perrexi, aurum disquirẽs. Sed illic in piratas incidit, ab ipsisq́; comprehensus est. Captus ergo ut dimitterentur piratas orabat, mille auri talenta daturũ ipsis promittens. Sed cum non crederetur, abactus ab ipsis, diuẽditus est mille drachmis.

Affabulatio.

Fabula significat mendacijs hominum inimicum esse deum.

Ranæ.

RAnæ duæ in palude pascebantur, æstate autem siccata palude, illa derelicta, quærebant aliã. cæterum profundum inuenerũt puteũ. Quo uiso, altera alteri inquit, descẽdamus heus in hunc puerũ. Illa respondendo ait, Si igitur & hic aqua aruerit, quomodo ascendemus?

Affabulatio.

Fabula declarat non oportere inconsiderate res aggredi.

Senex & mors.

SEnex quondam incisis in monte lignis, ac in humeros eleuatis, ubi multam uiam oneratus iuit, defessus & deposuit ligna, & mortem ut ueniret inuocabat. At morte ilico adstante & causam rogante, qua se uocasset, senex ait, ut onus hoc sublatum im-

θῇς μοι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλόζωος ὤν, κἂν μυρίοις κινδύνοις περιπεσὼν δοκῇ θανάτου ἐπιθυμεῖν, ὅμως τὸ ζῆν πολὺ πρὸ τοῦ θανάτου αἱρεῖται.

Γραῦς καὶ ἰατρός.

Γυνὴ γραῦς ἀλγοῦσα τοὺς ὀφθαλμοὺς, εἰσκαλεῖταί τινα τῶν ἰατρῶν ἐπὶ μισθῷ, συμφωνήσασα, ὡς εἰ μὲν θεραπεύσειεν αὐτὴν, τὸν ὁμολογηθέντα μισθὸν αὐτῷ δώσειν. εἰ δὲ μὴ, μηδὲν δώσειν. ἐνεχείρησε μὲν οὖν ὁ ἰατρὸς τῇ θεραπείᾳ, καθ᾽ ἡμέραν δὲ φοιτῶν ὡς τὴν πρεσβύτιν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῇ χρίων, ἐκείνης μηδαμῶς ἀναβλέπειν ἐχούσης τὴν ὥραν ἐκείνην ὑπὸ τοῦ χρίσματος, αὐτὸς ἕν τι τῶν τῆς οἰκίας σκευῶν ὑφαιρούμενος, ὁσημέραι ἀπῄει. ἡ μὲν οὖν γραῦς τὴν ἑαυτῆς περιουσίαν ἑώρα καθ᾽ ἑκάστην ἐλαττουμένην ἐπὶ τοσοῦτον, ὡς καὶ τέλος παντάπασιν αὐτῇ θεραπευθείσῃ μηδὲν ὑπολειφθῆναι. τοῦ δ᾽ ἰατροῦ τοὺς συμφωνηθέντας μισθοὺς αὐτὴν ἀπαιτοῦντος ὡς καθαρῶς βλέπουσαν ἤδη, καὶ τοὺς μάρτυρας παραγαγόντος, μᾶλλον μὲν οὖν εἶπεν ἐκείνη τανῦν οὐδόλως βλέπω. ἡνίκα μὲν γὰρ τοὺς ὀφθαλμοὺς ἐνόσουν, πολλὰ τῶν ἐμῶν κατὰ τὴν ἐμαυτῆς ἔβλεπον οἰκίαν. νῦν δ᾽ ὅτε με σὺ βλέπειν φῄς, οὐδέν τι οὖν ἐκείνων ὁρῶ.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων δι᾽ ὧν πράττουσι, λανθάνουσι καθ᾽ ἑαυτῶν τὸν ἔλεγχον ἐπισπώμενοι.

Γεωργὸς καὶ παῖδες αὐτοῦ.

Γεωργὸς

ponere mihi.

Affabulatio.

Fabula significat omnem hominem uitæ studiosum esse, & licet infinitis periculis immersus, uideatur mortem appetere, tamen uiuere multo magis, quàm mori eligere.

Anus & medicus.

MVlier anus dolẽs oculos conduxit medicum quendam mercede, cõuentione facta si se curaret, pactã mecedem ei daturam: sin autẽ minime, nihil daturam. Aggressus est igitur medicus curã. quotidie uero accedens ad uetulam, & oculos ei ungens, cũ illa nequaquam uidere posset ea hora ob unctionẽ, ipse uas aliquod ex domo auferens quotidie discedebat. Anus igitur suam supellectilẽ uidebat singulis diebus minui, adeò ut tandem omnino liberatæ nihil relinqueretur. At medico pactam mercedem ab ea efflagitante, quasi pure iam uidente, & testes adducente: Magis certe ait illa, nunc nihil uideo. Nam cũ oculis laborabam, multa mea in mea uidebã domo, nunc autem cum me tu uidere inquis, nihil omnino ex illis uideo.

Affabulatio.

Fabula significat, prauos homines ex ijs quæ agant, ignaros contra seipsos argumentum afferre.

Agricola & filij ipsius.

Γεωργός τις μέλλων καταλύειν τὸν βίον, καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας, προσκαλεσάμενος αὐτοὺς, ἔφη. παῖδές ἐμοί, ἐγὼ μὲν ἤδη τὸν βίον ὑπέξειμι. ὑμεῖς δ᾽ ἅπερ ἐν τῇ ἀμπέλῳ μοι κέκρυπται ζητήσαντες εὑρήσετε πάντα. οἱ μὲν οὖν οἰηθέντες θησαυρὸν ἐκεῖ που κατορωρύχθαι, πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὴν ἀποβίωσιν τοῦ πατρὸς κατέσκαψαν. καὶ θησαυρῷ μὲν οὐ περιέτυχον. ἡ δὲ ἄμπελος καλῶς σκαφεῖσα, πολλαπλασίονα τὸν καρπὸν ἀνέδωκεν.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι ὁ κάματος, θησαυρός ἐστι τοῖς ἀνθρώποις.

Δεσπότης καὶ κύνες.

Ανήρ τις ὑπὸ χειμῶνος ἐν ἐπαύλει ἀποληφθεὶς, πρῶτα μὲν τὰ πρόβατα κατέσφαζεν, εἶτα τὰς αἶγας. τοῦ δὲ χειμῶνος ἐπικρατοῦντος, καὶ τοὺς ἐργάτας βοῦς σφάξας, ἐθοινήσατο. οἱ δὲ κύνες ταῦτα ἰδόντες, διελέχθησαν πρὸς ἀλλήλους, φεύγωμεν ἀλλ᾽ ἡμεῖς γε ἐντεῦθεν. εἰ γὰρ τῶν ἐργατῶν βοῶν ὁ δεσπότης ἡμῶν οὐκ ἐφείσατο, πῶς ἡμῶν φείσεται;

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι τούτους μάλιστα φεύγειν καὶ φυλάττεσθαι χρὴ, οἵτινες οὐδὲ τῶν οἰκείων ἀπέχονται.

Γυνὴ καὶ ὄρνις.

Γυνὴ χήρα τις ὄρνιν εἶχεν, καθ᾽ ἑκάστην ἡμέραν ᾠὸν αὐτῇ τίκτουσαν. νομίσασα δὲ ὡς εἰ πλείους τῇ ὄρνιθι κριθὰς παραβάλλοι, δὶς τέξεται τῆς ἡμέρας, τοῦτο πεποίηκεν. ἡ δ᾽ ὄρνις πιμελὴς γενομένη, οὐδ᾽ ἅπαξ τῆς ἡμέρας τεκεῖν ἠδύνατο.

Επιμύθιον

AGricola quidam uita excessurus, ac uolens suos filios periculum facere de agricultura, uocatis ipsis ait, Filij mei, ego iam è uita discedo, uos aũt si quę in uiñea à me occultata sunt, quæsieritis, inuenietis omnia. Illi igit̃ rati thesaurũ illic defossum esse, omnẽ uineæ terram post interitum patris defoderũt. & thesaurũ quidem non inuenerũt, sed uinea pulchre fossa multiplicem fructum reddidit.

Affabulatio.

Fabula significat laborem thesaurum esse hominibus.

Herus & canes.

VIr quidam à tempestate in suo suburbio deprehẽsus, primũ oueis comedit, hinc capras. Tempestate aũt inualescente, & operarios boues iugulatos comedit. Canes uero his uisis, dixerunt inter se, sed fugiamus nos hinc. Si enim operarijs bubus herus noster nõ abstinet, quo modo nobis abstinebit?

Affabulatio.

Fabula significat, eos maxime fugere & cauere oportere, qui neq; suis abstinent.

Mulier & gallina.

MVlier quædam uidua gallinã habebat, singulis diebus ouum sibi parientem: rata uero si plus gallinę hordei proijceret, bis pariturã die, hoc fecit. Sed gallina pinguefacta ne semel quidem die parere potuit.

Affa-

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ ὅτι οἱ διὰ πλεονεξίαν τῶν πλειόνων ἐπιθυμοῦντες, καὶ τὰ παρόντα ἀποβάλλουσι.

Κυνόδηκτος.

Δηχθείς τις ὑπὸ κυνός, τὸν ἰασόμενον περιῄει ζητῶν. ἐντυχὼν δέ τις αὐτῷ, καὶ γνοὺς ὃ ζητεῖ, ὦ οὗτος εἶπεν, εἰ σώζεσθαι βούλει λαβὼν ἄρτον, ἐν τούτῳ τὸ αἷμα τῆς πληγῆς ἐκμάξας, τῷ δακόντι κυνὶ φαγεῖν ἐπίδος. κἀκεῖνος γελάσας ἔφη, ἀλλ' εἰ τοῦτο ποιήσω, δεῖ με ὑπὸ πάντων τῶν ἐν τῇ πόλει κυνῶν δηχθῆναι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ εὐεργετούμενοι, μᾶλλον ἀδικεῖν παροξύνονται.

Νεανίσκοι καὶ μάγειρος.

Δύο νεανίσκοι μαγείρῳ παρεκάθηντο. καὶ δὴ τοῦ μαγείρου περί τι τῶν οἰκείων ἔργων ἀσχολουμένου, ἅτερος τούτων μέρος τι τῶν κρεῶν ὑφελόμενος, εἰς τὸν θατέρου καθῆκε κόλπον. ἐπιστραφέντος δὲ τοῦ μαγείρου, καὶ τὸ κρέας ἐπιζητοῦντος, ὁ μὲν εἰληφὼς ὤμνυε μὴ ἔχειν, ὁ δὲ ἔχων, μὴ εἰληφέναι. ὁ δὲ μάγειρος αἰσθόμενος τὴν κακουργίαν αὐτῶν εἶπεν. ἀλλὰ κἂν ἐμὲ λάθητε, τόν γ' ἐπιορκούμενον θεὸν οὔκουν λήσεσθε.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι κἂν ἀνθρώπους ἐπιορκοῦντες λάθωμεν, ἀλλὰ τόν γε θεὸν οὐ λήσομεν.

Ἐχθροί.

Δύο τινὲς

Affabulatio.

Fabula ſignificat eos qui ob auaritiam pluſunt appetentes,& quæ adſunt, amittere.

Morſus à cane.

MOrſus à cane quidam medicaturum circuibat quęrens,cum autem occurriſſet quidã ei,& cognoſceret quod quærebat,Heus tu ait, Si ſanari uis, accipe panem, atq; eo ſanguinem uulneris ſicca,& ei qui momordit cani ad edendũ prębe. Et is ridendo,ait,ſed ſi hoc fecero, oportebit me ab omnibus qui in urbe ſunt canibus morderi.

Affabulatio.

Fabula ſignificat prauos etiam homines beneficio affectos, magis ad inferendam iniuriam exacui.

Adoleſcentuli & cocus.

DVo adoleſcentuli apud cocũ aſſidebant & coco in aliquo domeſtico opere occupato,alter horũ partem quandam carniũ ſubreptam in alterius demiſit ſinum. Conuerſo aũt coco,& carnem quærente,qui abſtulerat,iurabat nõ habere : qui aũt habebat, nõ abſtuliſſe. Cocus uero cognita malicia ipſorũ ait,Sed etſi me latueritis, peieratum deum non latebitis.

Affabulatio.

Fabula ſignificat, quod licet homines peierantes lateamus,deum tamen non latebimus.

Inimici.

Duo

Δύο τινὲς ἀλλήλοις ἐχθραίνοντες, ἐπὶ τῆς αὐτῆς νεὼς ἔπλεον. ὧν ἅτερος μὲν ἐπὶ τῆς πρύμνης, ἅτερος δὲ ἐπὶ τῆς πρώρας ἐκάθητο. χειμῶνος δὲ ἐπιγενομένου, καὶ τῆς νεὼς μελλούσης ἤδη καταποντίζεσθαι, ὁ ἐπὶ τῆς πρύμνης τὸν κυβερνήτην ἤρετο, πότερον τῶν μερῶν τοῦ πλοίου πρότερον μέλλει καταβαπτίζεσθαι. τοῦ δὲ τὴν πρώραν εἰπόντος, ἀλλ' ἔμοιγε οὐκ ἔστι λυπηρὸν, εἶπεν ὁ θάνατος, εἴγε ὁρᾶν μέλλω πρὸ ἐμοῦ τὸν ἐχθρὸν ἀποθνήσκοντα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων οὐδὲν τῆς ἑαυτῶν βλάβης φροντίζουσιν, εἰ τοὺς ἐχθροὺς μόνον ἴδωσι πρὸ αὐτῶν κακουμένους.

Αἴλουρος καὶ μύες.

Ἐν οἰκίᾳ τινὶ πολλῶν μυῶν ὄντων, αἴλουρος τοῦτο γνοὺς ἧκεν ἐνταῦθα. καὶ κατέκαστον αὐτῶν συλλαμβάνων κατήσθιεν. οἱ δὲ, καθ' ἑκάστην ἑαυτοὺς ἀναλισκομένους ὁρῶντες, ἔφασαν πρὸς ἀλλήλους, μηκέτι κάτω κατέλθωμεν, ἵνα μὴ παντάπασιν ἀπολώμεθα. τοῦ γὰρ αἰλούρου μὴ δυναμένου δεῦρο ἐξικνεῖσθαι, ἡμεῖς σωθησόμεθα. ὁ δὲ αἴλουρος μηκέτι τῶν μυῶν κατιόντων, ἔγνω δι' ἐπινοίας αὐτοὺς ἐκκαλέσασθαι. καὶ δὴ ἀπὸ παττάλου τινὸς ἑαυτὸν ἀναβὰς ἀπῃώρησε, καὶ προσεποιεῖτο νεκρὸν εἶναι. τῶν δὲ μυῶν τις παρακύψας, καὶ ἰδὼν αὐτὸν, ἔφη. ὦ οὗτος κἂν θύλαξ γένῃ, οὐ προσελεύσομαί σοι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν ἀνθρώπων οἱ φρόνιμοι, ὅταν τῆς ἐνίων μοχθηρίας πειραθῶσιν, οὐκέτι αὐτῶν ἐξαπατῶνται ταῖς ὑποκρίσεσιν.

DVo quidã inter se inimici, in eadem naui nauigabant, quorum alter in puppi, alter in prora sedebat. Tẽpestate aũt superueniente, & naue iam submergẽda, q erat in puppi gubernatorẽ rogabat, utra pars nauigij prius obruẽda esset. cumq́ꝫ ille prora dixisset. Sed mihi non erit graue, ait, mors, si uisurus sum ante me inimicum morientem.

Affabulatio.

Fabula significat, multos homines nihil suum nocumẽtum curare, si modo inimicos suos uideant ante se malo affectos.

Felis & mures.

IN domo quadam cum multi essent mures, felis hoc cognito iuit eò, ac eorum singulos captos deuorabat. At illi quotidie cũ se absumi uiderent, dixerunt inter se: ne posthac infra descendamus, ne penitus pereamus. nam si felis nõ potest huc uenire, nos salui erimus. Sed felis nõ amplius muribus descendentibus, decreuit per astutiam eos fallens euocare. Cæterum cõscenso pessulo quodam, de eo se suspendit, & mortuum simulabat. Ex muribus autem quidã acclinatus, uisoq́ꝫ eo inquit, Heus tu, & si saccus fieres, non te adibo.

Affabulatio.

Fabula significat prudentes homines, cum aliquorum prauitatem experti fuerint, non amplius eorum falli simulationibus.

Αλώπηξ καὶ πίθηκος.

ΕΝ συνόδῳ ποτὲ τῶν ἀλόγων ζώων ὀρχήσατο πίθηκος. καὶ εὐδοκιμήσας, βασιλεὺς ὑπ' αὐτῶν ἐχειροτονήθη. ἀλώπηξ δ' αὐτῷ φθονήσασα, ὡς ἔν τινι παγίδι κρέας ἐθεάσατο τὸν πίθηκον λαβοῦσα, ἐνταῦθα ἤγαγεν, ὡς εὕροι μὲν αὐτὴ λέγουσα θησαυρόν τοῦτον, μὴ μὲν τοι καὶ χρήσασθαι αὐτῷ. τῷ βασιλεῖ γὰρ τοῦτον ὁ νόμος δίδωσι. καὶ προὔτρεπεν αὐτόν, ἅτε δὴ βασιλέα, τὸν θησαυρὸν ἀνελέσθαι. ὁ δ' ἀπεριςκέπτως προσελθών, καὶ συλληφθεὶς ὑπὸ τῆς παγίδος, ὡς ἐξαπατήσασαν ἐμέμφετο τὴν ἀλώπεκα. ἡ δὲ πρὸς αὐτόν, ὦ πίθηκε, τοιαύτην σὺ μωρίαν ἔχων, τῶν ἀλόγων βασιλεύσεις;

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οἱ πράξεσί τισιν ἀπεριςκέπτως ἐπιχειροῦντες, δυστυχήμασι περιπίπτουσι.

Θύννος καὶ δελφίν.

ΘΥννος διωκόμενος ὑπὸ δελφῖνος, καὶ πολλῷ τῷ ῥοίζῳ φερόμενος, ἐπειδὴ καταλαμβάνεσθαι ἔμελλεν, ἔλαθεν ὑπὸ σφοδρᾶς ῥύμης ἐκπεσὼν εἴς τινα νῆσον. ὑπὸ δὲ τῆς ὁμοίας ῥύμης καὶ ὁ δελφὶν αὐτῷ συνεξώκειλεν. ὁ δὲ θύννος ἐπιστραφείς, καὶ λειποψυχοῦντα τὸν δελφῖνα ἑωρακώς, εἶπεν. οὐκέτι μοι ὁ θάνατος λυπηρός, ὁρῶντι τὸν αἴτιον γεγονότα μοι τούτου σὺν ἐμοὶ ἀποθνήσκοντα.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι ῥαδίως τὰς συμφορὰς οἱ ἄνθρωποι φέρουσι, τοὺς τούτων αἰτίους δυστυχοῦντας ὁρῶντες.

Ιατρός

Vulpes & ſimius.

IN concilio quondam irrationalium anima lium ſaltauit ſimius, et approbatus, rex ab ip ſis electus eſt. Vulpes aũt ei inuidens, ut in caſſe quodam carnem uidit, ſimium ſecum il luc duxit, quòd inueniſſet ipſa theſaurũ illum. dicens, non tamen & uti eo, quippe quem lex regi tribueret: atq; hortata eſt ipſum ut regem, theſaurum accipere. At ille inconſiderate pro fectus & captus à caſſe, quòd decepiſſet, accu ſabat uulpem. Illa autem ei, O ſimie talem tu habens dementiam, brutis dominaberis?

Affabulatio.

Fabula ſignificat eos qui actiones aliquas in conſulte aggrediuntur, in infortunia incidere.

Thunnus & delphin.

THunnus delphino perſequente, magno impetu ferebatur. Cum capiendus foret, inſcius ob uehementẽ impetũ decidit in inſulam quandam. Ab eodem uero impetu & delphin cum eo eiectus eſt. Thunnus autem cõuerſus, cum agentem animam delphinum uidiſſet, ait, Non amplius mihi mors moleſta eſt, cum eum uideam, qui mihi cauſa fuit ipſi us, unà mecum perire.

Affabulatio.

Fabula ſignific. facile miſerias ferre homines, ſi eos qui illarum autores fuerunt, infeliciter agere uideant.

Ἰατρὸς καὶ νοσῶν.

Ἰατρὸς νοσοῦντα ἐθεράπευε. τοῦ δὲ νοσοῦντος ἀποθανόντος, ἐκεῖνος πρὸς τοὺς ἐκκομίζοντας ἔλεγεν, οὗτος ὁ ἄνθρωπος εἰ οἴνου ἀπείχετο, καὶ κλυστῆρσιν ἐχρῆτο, οὐκ ἂν ἐτεθνήκει. τῶν δὲ παρόντων ὑπολαβών τις ἔφη. βέλτιστε, οὐκ ἔδει σε ταῦτα νῦν λέγειν, ὅτε μηδὲν ὄφελός ἐστιν. ἀλλὰ τότε παραινεῖν, ὅτε τούτοις χρῆσθαι ἠδύνατο.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ τοὺς φίλους, ἐν καιρῷ ἀνάγκης τὰς βοηθείας παρέχειν.

Ἰξευτὴς καὶ ἔχις.

Ἰξευτὴς ἰξὸν ἀναλαβὼν καὶ καλάμους, πρὸς ἄγραν ἐξῆλθεν. ἰδὼν δὲ κίχλαν ἐφ᾽ ὑψηλοῦ δένδρου καθεζομένην, καὶ τοὺς καλάμους ἀλλήλοις ἐπὶ μῆκος συνάψας, ἄνω πρὸς αὐτὴν συλλαβεῖν βουλόμενος ἐφεώρα. καὶ δὴ λαθὼν, ἔχιν κοιμωμένην ὑπὸ πόδας ἐπάτησε. τῆς δ᾽ ὀργισθείσης καὶ δακούσης αὐτὸν, ἐκεῖνος ἤδη λειποψυχῶν ἔλεγε. δύστηνος ἐγὼ, ἕτερον γὰρ θηρεῦσαι βουλόμενος, αὐτὸς ὑφ᾽ ἑτέρου ἠγρεύθην εἰς θάνατον.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πέλας ἐπιβουλεύοντες, λανθάνουσι πολλάκις ὑφ᾽ ἑτέρων τοῦτ᾽ αὐτὸ πάσχοντες.

Κάστωρ.

Ὁ Κάστωρ ζῶόν ἐστι τετράπουν, ἐν λίμναις τὰ πολλὰ διαιτώμενον. οὗ τὰ αἰδοῖά φασιν ἰατροῖς χρήσιμα εἶναι. οὗτος οὖν ἐπειδὰν ὑπ᾽ ἀνθρώπων διωκόμενος καταλαμβάνηται, γινώσκων οὗ χάριν διώκεται, ἀποτεμὼν τὰ ἑαυτοῦ αἰδοῖα ῥίπτει πρὸς τοὺς διώκοντας, καὶ οὕτω σωτηρίας τυγχάνει.

Ἐπιμύθιον

Medicus & ægrotus.

MEdicus ęgrotũ curabat, ęgroto aũt mortuo, ille efferẽtib. dicebat, Homo hic si uino abstinuisset, & clysteribus usus fuisset, nõ interijsset. Quidã aũt ex ijs qui aderãt respondendo ait, Optime, nõ oportebat te hęc nũc dicere, cũ nulla utilitas est, sed tũc admonere, cũ his uti poterat.

Affabulatio.

Fabula significat oportere amicos tẽpore necessitatis præbere auxilia.

Auceps & uipera.

AVceps uisco accepto et arundinibus, aucupatũ egressus est. uiso aũt turdo super alta arbore sedente, & arundinib. inter se in lõgitudinẽ cõiunctis, sursum eũ cõprehensurus suspiciebat. Cæterũ ignarus uiperã dormientẽ cõculcauit. Hæc uero irata momordit ipsum. Ille iã agẽs animã dicebat, Me miserũ, aliũ eñ capturus, ipse ab alio captus sum ad mortẽ.

Affabulatio.

Fabula significat eos, qui proximis insidiãtur, ignaros sæpe ab alijs idipsum pati.

De fibro.

FIber animal est quadrupes, in stagnis plerũq; degẽs, cuius pudenda dicunt usui esse medicis. Hic igitur cũ ab hominibus persequẽtibus iam capiendus sit, cognito cuius gratia petatur, abscissa sua pudenda proijcit persequentibus, & sic salutem consequitur.

 Affabula

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ φρόνιμοι, ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας, οὐδένα λόγον τῶν χρημάτων ποιοῦνται.

Κύων καὶ μάγειρος.

Κύων εἰσπηδήσας εἰς μαγειρεῖον, καὶ τοῦ μαγείρου ἀσχολουμένου, καρδίαν ἁρπάσας ἔφυγεν. ὁ δὲ μάγειρος ἐπιστραφείς, ὡς εἶδεν αὐτὸν φεύγοντα εἶπεν. ὦ οὗτος, ἴσθι ὡς ὅπου περ ἂν ἧς, φυλάξομαί σε. οὐ γὰρ ἀπ' ἐμοῦ καρδίαν εἴληφας, ἀλλ' ἐμοὶ καρδίαν ἔδωκας.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνονται.

Κύων καὶ λύκος.

Κύων πρό ἐπαύλεώς τινος ἐκάθευδε. λύκου δ' ἐπιδραμόντος, καὶ βρῶμα μέλλοντος θύσειν αὐτὸν, ἐδεῖτο μὴ νῦν αὐτὸν καταθῦσαι. νῦν μὲν γάρ φησι λεπτός εἰμι καὶ ἰσχνός. ἂν δὲ μικρὸν ἀναμείνῃς, μέλλουσιν οἱ ἐμοὶ δεσπόται ποιήσειν γάμους, κἀγὼ τηνικαῦτα πολλὰ φαγὼν, πιμελέστερος ἔσομαι, καὶ σοὶ ἡδύτερον βρῶμα γενήσομαι. ὁ μὲν οὖν λύκος πεισθεὶς, ἀπῆλθε μεθ' ἡμέρας δὲ ἐπανελθὼν, εὗρεν ἄνω ἐπὶ τοῦ δώματος τὸν κύνα καθεύδοντα. καὶ στὰς κάτωθεν, πρὸς ἑαυτὸν ἐκάλει, ὑπομιμνήσκων αὐτὸν τῶν συνθηκῶν. καὶ ὁ κύων, ἀλλ' ὦ λύκε εἰ τοαποτοῦδε πρὸ τῆς ἐπαύλεώς με ἴδοις καθεύδοντα, μηκέτι γάμους ἀναμείνῃς.

Ἐπιμύθιον.

Ὁ μῦθος

Affabulatio.

Fabula significat homines prudentes pro sua salute nullum habere respectum pecuniarum.

Canis & cocus.

Canis irrumpens in culinam, & coco occupato, corde arrepto fugit. At cocus cõuersus, ut uidit ipsum fugientẽ, ait, Heus tu scito ubi tu fueris, me te obseruaturum, non enim mihi cor abstulisti, sed dedisti potius.

Affabulatio.

Fabula significat sępe nocumenta hominibus documenta esse.

Canis & lupus.

Canis ante stabulum quoddam dormiebat: cumq; lupus irrupisset, & deuoraturus eum esset, rogabat, ne tunc se mactaret, Nunc enim, inquit, tenuis sum & macilentus: si autem parumper expectaueris, mei domini facturi sunt nuptias, & ego tunc multa depastus, pinguior ero, & tibi suauior cibus fiam. Lupus igitur persuasus, abiuit. Post aliquot dies reuersus, inuenit superius super domus tecto canem dormientem, & stans inferius ad se uocabat, admonens eum fœderis. Et canis, O lupe, si posthac ante stabulum me uideris dormientem, non amplius expectes nuptias.

Affabulatio.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων ὅταν περί τι κινδυνεύσαντες σωθῶσι, διὰ βίου ἑαυτοὺς φυλάττονται.

Κύων καὶ ἀλεκτρυών.

ΚΥων καὶ ἀλεκτρυὼν ἑταιρείαν ποιησάμενοι, ὥδευον, ἑσπέρας δὲ καταλαβούσης, ὁ μὲν ἀλεκτρυὼν ἐπὶ δένδρου ἐκάθευδεν ἀναβάς, ὁ δὲ κύων πρὸς τῇ ῥίζῃ τοῦ δένδρου κοίλωμα ἔχοντος. τοῦ δὲ ἀλεκτρυόνος κατὰ τὸ εἰωθὸς νύκτωρ φωνήσαντος, ἀλώπηξ ἀκούσασα πρὸς αὐτὸν ἔδραμε. καὶ στᾶσα κάτωθεν, πρὸς ἑαυτὴν κατελθεῖν ἠξίου, ἐπιθυμεῖν γὰρ ἀγαθὴν οὕτω φωνὴν ζῶον ἔχον ἀσπάσασθαι. τοῦ δὲ εἰπόντος τὸν θυρωρὸν πρότερον διυπνίσαι ὑπὸ τὴν ῥίζαν καθεύδοντα, ὡς ἐκείνου ἀνοίξαντος κατελθεῖν, κἀκείνης ζητούσης αὐτὸν φωνῆσαι, ὁ κύων ἄφνως πηδήσας, αὐτὴν διεσπάραξε.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων τοὺς ἐχθροὺς ἐπελθόντας, πρὸς ἰσχυροτέρους πέμπουσι παραλογιζόμενοι.

Λέων καὶ βάτραχος.

ΛΕων ἀκούσας ποτὲ βατράχου μέγα βοῶντος, ἐπεστράφη πρὸς τὴν φωνήν, οἰόμενος μέγα τι ζῶον εἶναι, προσμείνας δὲ μικρόν, ὡς εἶδεν αὐτὸν προελθόντα τῆς λίμνης, προσελθὼν αὐτὸν κατεπάτησεν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, μὴ δεῖ πρὸ τῆς ὄψεως διὰ ἀκοῆς μόνης ταράττεσθαι.

Λέων καὶ ὄνος καὶ ἀλώπηξ.

ΛΕων καὶ ὄνος καὶ ἀλώπηξ, κοινωνίαν ποιησάμενοι

Fabula significat prudentes homines cum aliqua in re periclitati salui facti fuerint, cauere ab ea quamdiu uixerint.

Canis & gallus.

CAnis & gallus inita societate iter faciebãt, uespera aũt supueniẽte, gallus cõscẽsa arbore dormiebat, at canis ad radicẽ arboris excauatę. Cũ gallus ut assolet noctu cantasset, uulpes ut audiuit accurrit, & stans inferius ut ad se descenderet rogabat, quod cuperet commendabile adeo cantu animal cõplecti. Cum aũt is dixisset, ut ianitorem prius excitaret ad radicem dormientem, ut cum ille aperuisset, descenderet. Et illa quærẽte ut ipsum uocaret, canis statim prosiliens eam dilacerauit.

Affabulatio.

Fabula significat prudentes homines inimicos insultantes ad fortiores astu mittere.

Leo & rana.

LEo audita aliquando rana ualde clamante, uertit se ad uocẽ, ratus magnũ aliquod animal esse. parumper autem expectando, ut uidit stagno egressam, accedens propius proculcauit.

Affabulatio.

Fabula significat non oportere ante quàm uideas uoce sola perturbari.

Leo & asinus & uulpes.

LEo & asinus & uulpes, inita societa-

σάμενοι, ἐξῆλθον πρὸς ἄγραν. πολλῆς οὖν θήρας συλληφθείσης, προσέταξεν ὁ λέων τῷ ὄνῳ διελεῖν αὐτοῖς. ὁ δὲ, τρεῖς μερίδας ποιησάμενος ἐκ τῶν ἴσων, ἐκλέξασθαι τούτους προὔτρεπε. καὶ ὁ λέων θυμωθεὶς, τὸν ὄνον κατέφαγεν, εἶτα τῇ ἀλώπεκι μερίζειν ἐκέλευσεν. ἡ δ' εἰς μίαν μερίδα πάντα σωρεύσασα, ἑαυτῇ βραχύ τι κατέλιπεν. καὶ ὁ λέων πρὸς αὐτὴν, τίς σε ὦ βελτίστη διαιρεῖν οὕτως ἐδίδαξεν; ἡ δ' εἶπεν, τοῦ ὄνου συμφορά.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι σωφρονισμοὶ γίνονται τοῖς ἀνθρώποις, τὰ τῶν πέλας δυστυχήματα.

Λέων καὶ ἄρκτος.

Λέων καὶ ἄρκτος ὁμοῦ βουβάλῳ περιτυχόντες, περὶ τούτου ἐμάχοντο. δεινῶς οὖν ὑπ' ἀλλήλων διατεθέντες, ὡς ἐκ τῆς πολλῆς μάχης καὶ σκοτοδινιάσαι, ἀπαυδήσαντες ἔκειντο. ἀλώπηξ δὲ κύκλῳ περιιοῦσα, πεπτωκότας αὐτοὺς ἰδοῦσα, καὶ τὸν βούβαλον ἐν τῷ μέσῳ κείμενον, τοῦτον διὰ μέσου ἀμφοῖν διαδραμοῦσα καὶ ἁρπάσασα, φεύγουσα ᾤχετο. οἱ δὲ, βλέποντες μὲν αὐτὴν, μὴ δυνάμενοι δὲ ἀναστῆναι, δείλαιοι ἡμεῖς εἶπον ὅτι δι' ἀλώπεκα ἐμοχθοῦμεν.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι ἄλλων κοπιώντων, ἄλλοι κερδαίνουσιν.

Μάντις.

Μάντις ἐπ' ἀγορᾶς καθήμενος, διελέγετο. ἐπιστάντος δέ τινος ἄφνως καὶ ἀπαγγείλαντος, ὡς αἱ τῆς οἰκίας αὐτοῦ θυρίδες ἀναπεπταμέναι τε πᾶσαι εἶεν, καὶ πάντα τὰ ἔνδον ἀφῃρημένα, ἀνεπήδησέ τε στενάξας,

καὶ

te egressi sunt ad uenandum. Multa igitur prę da capta. iussit leo asino ut diuideret sibi. at ille tribus partibus factis æqualiter, ut eligerēt eos hortabatur. Et leo iratus asinum deuorauit. Inde uulpi ut diuideret iussit: illa uero in unā partem omnibus cōgestis, sibi minimū quiddam reliquit. Tum leo ipsi, Quis te, ô optima, diuidere sic docuit? Ea, inquit, asini calamitas.

Affabulatio.

Fabula significat castigamenta hominibus esse aliorum infortunia.

Leo & ursus.

LEo & ursus simul magnum nacti hinnulum, de eo pugnabant. Gauiter igitur à seipsis affecti, ut ex multa pugna etiā uertigine corriperētur, defatigati iacebant. Vulpes autem circumcirca eundo, ubi prostratos eos uidit, & hinnulum in medio iacentē, hunc per utrosq; percurrendo rapuit, fugiensq; abiuit. At illi uidebant quidē ipsam, sed quia non poterant surgere, nos miseros dicebant, quia uulpi laborauimus.

Affabulatio.

Fabula significat alijs laborantibus alios lucrari.

Vates.

VAtes in foro sedens differebat. cū aūt superuenisset quidā derepēte & nūciasset ꝙ domus ipsius fenestræ apertæ oēs essent, & quę intus ablata oīa, exiliuit suspirādo,

καὶ δρομαῖος ᾔει. τρέχοντα δέ τις αὐτὸν θεασάμενος, ὦ οὗτος εἶπεν, ὁ τἀλλότρια πράγματα περιεργάζεσθαι ἀπαγγελλόμενος, τὰ σαυτοῦ οὐ προμαντεύου.

Επιμύθιον.

Ο μῦθος πρὸς τοὺς τὸν μὲν ἑαυτῶν βίον φαύλως διοικοῦντας, τῶν δὲ μηδὲν αὐτοῖς προσηκόντων προνοεῖσθαι πειρωμένους.

Μύρμηξ καὶ περιστερά.

Μύρμηξ διψήσας, κατελθὼν εἰς πηγὴν, παρασυρεὶς ὑπὸ τοῦ ῥεύματος ἀπεπνίγετο. περιστερὰ δὲ τοῦτο θεασαμένη, κλῶνα δένδρου περιελοῦσα, εἰς τὴν πηγὴν ἔρριψεν. ἐφ' οὗ καὶ καθίσας ὁ μύρμηξ διεσώθη. ἰξευτὴς δέ τις μετὰ τοῦτο τοὺς καλάμους συνθεὶς, ᾔει τὸ τὴν περιστερὰν συλλαβεῖν ᾔει. τοῦτο δ' ὁ μύρμηξ ἑωρακὼς, τὸν τοῦ ἰξευτοῦ πόδα ἔδακεν. ὁ δὲ ἀλγήσας, τούς τε καλάμους ἔρριψε, καὶ τὴν περιστερὰν αὐτίκα φυγεῖν ἐποίησεν.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς εὐεργέταις χάριν ἀποδιδόναι.

Νυκτερὶς καὶ βάτος καὶ αἴθυια.

Νυκτερὶς καὶ βάτος καὶ αἴθυια ἑταιρείαν ποιησάμεναι, ἐμπορικὸν διέγνωσαν βίον ζῆν. ἡ μὲν οὖν νυκτερὶς ἀργύριον δανεισαμένη, καθῆκεν εἰς τὸ μέσον, ἡ δὲ βάτος ἐσθῆτα μεθ' ἑαυτῆς ἔλαβεν, ἡ δὲ αἴθυια τρίτη χαλκόν. καὶ ἀπέπλευσαν. χειμῶνος δὲ σφοδροῦ γενομένου, καὶ τῆς νεὼς περιτραπείσης, πάντα ἀπολέσαντες αὐτοὶ ἐπὶ τὴν γῆν διεσώθησαν. ἐξ ἐκείνου τοίνυν ἡ μὲν αἴθυια τοῖς αἰγιαλοῖς ἀεὶ παρεδρεύει, μή που τὸν χαλκὸν ἐκβάλλῃ ἡ θάλασσα. ἡ δὲ

&currendo ibat. At cum quidã uidiſſet ipſum currentẽ, heus tu, inquit, qui alienas res præſcire profiteris, tuas ipſius non præuaticinabare:

Affabulatio.

Fabula in eos qui cum ſuam uitam praue gubernant, quæ nihil ad ſe attinent, præſcire conantur.

Formica & columba.

FOrmica ſitiens deſcendit in fontem, ac tracta à fluxu, ſuffocabatur. Columba uero hoc uiſo, ramum arboris acceptum in fontem proiecit, ſuper quo ſedẽdo formica, euaſit. Auceps autem quidam poſt hoc calamis compoſitis ad columbam cõprehendendum ibat. Hoc autem uiſo, formica aucupis pedem momordit, qui dolens & calamos proiecit, et ut columba fugeret, autor fuit.

Affabulatio.

Fabula ſignificat oportere benefactoribus gratiam referre.

Veſpertilio & rubus & mergus.

VEſpertilio et rubus et mergus inita ſocietate mercatoriã decreuerũt uitã agere. Itaq; ueſpertilio argẽtum mutuata proiecit in mediũ, rubus ueſtẽ ſecum accepit, mergus tertius ęs, & nauigauerũt. Tempeſtate ante uehemẽti oborta, & naui euerſa, omnibus perditis ipſi in terrã euaſerũt. Ex illo igit̃ mergus littoribus ſemper aſſidet, nũ quopiã æs eijciat mare.

Veſper-

νυκτερὶς τοὺς δανειστὰς φοβουμένη, διὰ μὲν ἡμέρας οὐ φαίνεται, νύκτωρ δὲ ἐπὶ νομὴν ἔξεισιν. ἡ δὲ βάτος, διὰ τῶν παριόντων ἐσθῆτος ἐπιλαμβάνεται, εἴ που τὴν οἰκείαν ἐπιγνοίη ζητοῦσα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι περὶ ἃ σπουδάζομεν, τούτοις ὕστερον περιπίπτομεν.

Νοσῶν καὶ ἰατρός.

Νοσῶν τις καὶ ὑπὸ ἰατροῦ ἐρωτώμενος ὅπως διετηρήθη, πλέον εἶπε τοῦ δέοντος ἱδρωκέναι. ὁ δὲ, ἀγαθὸν ἔφη τοῦτ' εἶναι. ἐκ δευτέρου δὲ παρ' αὐτοῦ πάλιν ἐρωτηθεὶς ὅπως ἔχοι, φρίκῃ συσχεθεὶς εἶπε σφοδρῶς διατετινάχθαι. ὁ δὲ, καὶ τοῦτ' ἀγαθὸν ἔφησεν εἶναι. ἐκ δὲ τρίτου αὖθις, ὅπως διεγένετο, εἶπεν ὕδρωπι περιπεπτωκέναι. ὁ δὲ, καὶ τοῦτο πάλιν ἀγαθὸν εἶπεν εἶναι. εἶτα τῶν οἰκείων τινὸς αὐτοῦ ἐρωτήσαντος, ὅπως ἔχεις; ἐγὼ εἶπεν ὦ οὗτος, ὑπὸ τῶν ἀγαθῶν ἀπόλλυμαι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι μάλιστα τῶν ἀνθρώπων δυσχεραίνομεν τοὺς πρὸς χάριν ἀεὶ βουλομένους λέγειν.

Ξυλευόμενος καὶ ἑρμῆς.

Ξυλευόμενός τις παρά τινι ποταμῷ, τὸν οἰκεῖον ἀπέβαλε πέλεκυν. ἀμηχανῶν τοίνυν παρὰ τὴν ὄχθην καθίσας ὠδύρετο. ἑρμῆς δὲ μαθὼν τὴν αἰτίαν, καὶ οἰκτείρας τὸν ἄνθρωπον, καταδὺς εἰς τὸν ποταμὸν χρυσοῦν ἀνήνεγκε πέλεκυν, καὶ εἰ οὗτός ἐστιν ὃν ἀπώλεσεν ἤρετο. τοῦ δὲ, μὴ τοῦτον εἶναι φαμένου, αὖθις καταβὰς ἀργυροῦν ἀνεκόμισε. τοῦ δὲ μηδὲ τοῦτον εἶναι τὸν οἰκεῖον εἰπόντος, ἐκ τρίτου καταβὰς ἐκεῖνον

τὸν

Vespertilio uero creditores timens, interdiu non apparet, noctu ad pabulum exit. Rubus prætereuntium uesti inhæret, sicubi suam cognoscat quærendo.

Affabulatio.

Fabula significat, in ea quibus incumbimus in posterum recidere.

A egrotus & medicus.

AEgrotus quidam à medico rogatus, quo modo ualuisset, Plus, ait, quam oporteret sudasse. Ille aũt bonũ ait hoc esse. Secundo uero ab ipso iterũ rogatus quõ habuisset, horrore correptũ ait ualde cõcussum fuisse. Ille & hoc bonũ esse ait. Tertio rogat9 quõ ualuisset, ait in ĩtercutẽ incidisse. Ille & hoc rursus bonũ ait esse. Inde ex domesticis quodã ipsum rogãte, ut habes: Ego, ait, heus tu, præ bonis pereo.

Affabulatio.

Fabula significat maxime ex hominibus odio haberi, qui in gratiam semper loqui student.

Lignator & Mercurius.

LIgnator quidam apud fluuiũ suam amisit securim: inops igitur cõsilij iuxta ripã sedendo plorabat. Mercurius autem intellecta causa et miseratus hominẽ, urinatus in fluuiũ auream sustulit securim: & an hæc esset quã perdiderat, rogauit. Illo non eam esse dicẽte, iterum urinatus argenteã sustulit. Illo neque hanc esse suam dicente, tertio urinatus, illam

ipsam

τὸν οἰκεῖον ἀνήνεγκε. τοῦ δὲ τοῦτον ἀληθῶς εἶναι τὸν ἀπολωλότα φαμένου, ἑρμῆς ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην, πάντας αὐτῷ ἐδωρήσατο. ὁ δὲ παραγενόμενος, πάντα τοῖς ἑταίροις τὰ συμβάντα διεξελήλυθεν. ὧν εἷς τις τὰ ἴσα διαπράξασθαι ἐβουλεύσατο καὶ παρὰ τὸν ποταμὸν ἐλθὼν, καὶ τὴν οἰκείαν ἀξίνην ἐξεπίτηδες ἀφεὶς εἰς τὸ ῥεῦμα κλαίων ἐκάθητο. ἐπιφανεὶς οὖν ὁ ἑρμῆς κἀκείνῳ, καὶ τὴν αἰτίαν μαθὼν τοῦ θρήνου, καταβὰς ὁμοίως χρυσῆν ἀξίνην ἐξήνεγκεν. καὶ ἤρετο εἰ ταύτην ἀπέβαλε. τοῦ δὲ, σὺν ἡδονῇ, ναὶ ἀληθῶς ἥδ᾽ ἐστὶ, φήσαντος, μισήσας ὁ θεὸς τὴν τοσαύτην ἀναίδειαν, οὐ μόνον ἐκείνην κατέσχεν, ἀλλ᾽ οὐδὲ τὴν οἰκείαν ἀπέδωκεν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ὅσον τοῖς δικαίοις τὸ θεῖον συναίρεται, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται.

Ὄνος καὶ κηπωρός.

Ὄνος ὑπηρετούμενος κηπωρῷ, ἐπειδὴ ὀλίγα μὲν ἤσθιε, πλεῖστα δ᾽ ἐμόχθει, ηὔξατο τῷ διῒ ὥστε τοῦ κηπωροῦ ἀπαλλαγεὶς ἑτέρῳ ἀπεμπωληθῆναι δεσπότῃ. τοῦ δὲ διὸς ἐπακούσαντος καὶ κελεύσαντος αὐτὸν κεραμεῖ πραθῆναι, πάλιν ἐδυσφόρει, πλέον ἢ πρότερον ἀχθοφορῶν, καὶ τόν τε πηλὸν, καὶ τὰς κεράμους κομίζων. πάλιν οὖν ἀμεῖψαι τὸν δεσπότην ἱκέτευε. καὶ βυρσοδέψῃ ἀπεμπωλεῖται. εἰς χείρονα τοίνυν τῶν προτέρων δεσπότην ἐμπεσὼν, καὶ ὁρῶν τὰ παρ᾽ αὐτοῦ πραττόμενα μετὰ στεναγμῶν ἔφη, οἴμοι τῷ ταλαιπώρῳ, βέλτιον ἦν μοι παρὰ τοῖς προτέροις δεσπόταις μένειν. οὗτος γὰρ ὡς ὁρῶ, καὶ τὸ δέρμα μου κα-

ipſam ſuſtulit: illo hanc uere eſſe deperditam dicente, Mercurius probata ipſius æquitate, omnes ei donauit. Ille profectus omnia ſocijs quæ acciderant, narrauit. Quorum unus eadem facere decreuit. Et ad fluuium profectus & ſuam ſecurim conſulto demiſit in profluentem, & plorans ſedebat. Apparuit igitur Mercurius & illi, & cauſa intellecta ploratus, urinatus ſimiliter auream ſecurim extulit, & rogauit an hanc amiſiſſet. Illo lætabundo, & uere hęc eſt dicente, peroſus deus tantam impudentiam, non ſolum illam detinuit, ſed ne propriã quidem reddidit.

Affabulatio.

Fabula ſignificat, quantum iuſtis deus auxiliatur, tantum iniuſtis eſſe contrarium.

Aſinus, & hortulanus.

Aſinus ſeruiens olitori, quoniam parum comedebat, plurimum laborabat, precatus eſt Iouem, ut ab olitore liberatus, alteri uenderetur domino. Cũ Iupiter exoratus, iuſſiſſet ipſum figulo uendi, iterum iniquiore animo perferebat, quàm prius, onera, & cœnum, & tegulas ferre. Rurſus igitur, ut mutaret dominum rogauit, & coriario uenundatus eſt. Peiorem itaq; prioribus herum nactus, uidens quę ab eo fierent, ſuſpirando ait: hei mihi miſero, melius erat mihi apud priores heros manere, hic enim, ut uideo, & pellem meam o-

τοργάσεται.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τότε μάλιστα τοὺς προτέρους δεσπότας οἰκέται ποθοῦσιν, ὅταν τῶν δευτέρων λάβωσι πεῖραν.

Ὀρνιθοθήρας καὶ κορυδαλός.

Ὀρνιθοθήρας ὄρνισιν ἵστη παγίδας, κορυδαλὸς δὲ τοῦτον πόρρωθεν ἰδὼν, ἐπυνθάνετο τί ποτ' ἐργάζοιτο. τοῦ δὲ, πόλιν κτίζειν φαμένου, εἶτα δὲ πορρωτέρω ἀναχωρήσαντος καὶ κρυβέντος, ὁ κορυδαλὸς τοῖς τοῦ ἀνδρὸς λόγοις πιστεύσας, προσελθὼν εἰς τὸν βρόχον ἑάλω. τοῦ δὲ ὀρνιθοθήρα ἐπιδραμόντος, ἐκεῖνος εἶπεν. ὦ οὗτος, εἰ τοιαύτην πόλιν κτίζεις, οὐ πολλοὺς εὑρήσεις τοὺς ἐνοικοῦντας.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τότε μάλιστα οἶκοι καὶ πόλεις ἐρημοῦνται, ὅταν οἱ προεστῶτες χαλεπαίνωσιν.

Ὁδοιπόρος.

Ὁδοιπόρος πολλὴν ἀνύσας ὁδὸν, ηὔξατο. εἰ ἄρα εὑρήσει τί, τὸ ἥμισυ τούτου τῷ ἑρμῇ ἀναθήσειν. περιτυχὼν δὲ πήρᾳ μεστῇ φοινίκων καὶ ἀμυγδάλων καὶ ταύτην ἀνελόμενος, ἐκείνους μὲν ἔφαγε, τὰ δὲ τῶν φοινίκων ὀστᾶ, καὶ τὰ τῶν ἀμυγδάλων κελύφη ἐπί τινος ἀνέθηκε βωμοῦ, φήσας ἀπέχεις ὦ ἑρμῆ τὴν εὐχὴν, τοῦ γὰρ εὑρεθέντος τὰ ἐκτὸς καὶ ἐντὸς πρὸς σὲ διανέμημαι.

Ἐπιμύθιον.

Ὁ μῦθος, πρὸς ἄνδρα φιλάργυρον, καὶ τοὺς θεοὺς διὰ πλεονεξίαν κατασοφιζόμενον.

Παῖς καὶ μήτηρ.

perabitur. Affabulatio.
Fabula ſignificat tunc maxime priores dominos à famulis expeti, cum de ſecundis periculum fecerint.

Auceps, & caſſita. cogujada

AVceps auibus ſtruxerat laqueos, alauda uero hunc procul uidens rogauit, quidnam operaretur, eo urbem cõdere dicente. Deinde procul regreſſo & abſcondito, galerita uiri uerbis credendo, acceſſit ad caſſem, & capta eſt. At aucupe accurrente, illa dixit, heus tu, ſi talem urbem condis, non multos inuenies incolentes.

Affabulatio.

Fabula ſignificat, tunc maxime domos & urbes deſolari, cum præfecti moleſti fuerint.

Viator.

VIator multa confecta uia, orauit, ſi quid inuenerit, dimidium Mercurio dedicaturum. Nactus igitur peram cariotarum & amygdalarum plenam, atq; ea accepta, eas comedit. Sed cariotarum oſſa & amygdalarũ cortices ſuper altari quodã impoſuit, locutus, habes ô Mercuri, uotum. Nam rei inuentæ exteriora & interiora tecum partior.

Affabulatio.

Fabula aduerſus uirum auarum, qui & deos ob cupiditatem fallit.

Puer, & mater.

Παῖς ἐκ διδασκαλείου τὴν τοῦ συμμαθητοῦ δέλτον κλέψας, ἤνεγκε τῇ μητρί. τῆς δὲ μὴ ἐπιπληξάσης, μᾶλλον μὲν οὖν ἀποδεξαμένης, προϊὼν τοῖς χρόνοις ἤρξατο καὶ τὰ μείζω κλέπτειν. ἐπ' αὐτοφώρῳ δέ ποτε ληφθεὶς, ἀπήγετο τὴν πρὸς θάνατον. τῆς δὲ μητρὸς ἑπομένης καὶ ὀλοφυρομένης, ἐκεῖνος τῶν δημίων ἐδεῖτο βραχέα τινὰ τῇ μητρὶ διαλεχθῆναι πρὸς τὸ οὖς. τῆς δὲ ταχέως τῷ στόματι τοῦ παιδὸς προσελθούσης, ἐκεῖνος τὸ οὖς τοῖς ὀδοῦσι δακὼν ἀφεῖλε. τῆς δὲ μητρὸς καὶ τῶν ἄλλων κατηγορούντων, ὡς οὐ μόνον κέκλοφεν, ἀλλ' ἤδη καὶ εἰς τὴν μητέρα ἠσέβησεν, ἐκεῖνος εἶπεν, αὕτη γάρ μοι τῆς ἀπωλείας γέγονεν αἴτιος, εἰ γὰρ ὅτε τὴν δέλτον ἐκεκλόφειν ἐπέπληξέ μοι, οὐκ ἂν μέχρι τούτων χωρήσας νῦν ἠγόμην ἐπὶ τὸν θάνατον.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν μὴ κατ' ἀρχὰς κολαζομένων ἐπὶ μεῖζον αὐξάνει τὰ κακά.

Ποιμὴν καὶ θάλασσα.

Ποιμὴν ἐν παραθαλασσίῳ τόπῳ ποίμνιον νέμων, ἑωρακὼς γαληνιῶσαν τὴν θάλατταν, ἐπεθύμησε πλεῦσαι πρὸς ἐμπορείαν. ἀπεμπωλήσας οὖν τὰ πρόβατα, καὶ φοινίκων βαλάνους πριάμενος, ἀνήχθη. χειμῶνος δὲ σφοδροῦ γενομένου, καὶ τῆς νεὼς κινδυνευούσης βαπτίζεσθαι, πάντα τὸν φόρτον ἐκβαλὼν εἰς τὴν θάλατταν, μόλις κενῇ τῇ νηῒ διεσώθη. μετὰ δ' ἡμέρας οὐκ ὀλίγας παριόντος τινὸς καὶ τῆς θαλάττης, ἔτυχε γὰρ αὕτη γαληνιῶσα τὴν ἠρεμίαν θαυμάζοντος, ὑπολαβὼν οὗτος εἶπε, φοινίκων αὖθις ὡς

ἔοικεν

PVer ex literario ludo cōdiſcipuli librum furatus, tulit matri. Cum ea uero non corripuiſſet, ſed potius amplexata fuiſſet, prouectus ætate cœpit & maiora furari. In ipſo autem furto aliquando deprehenſus, ducebatur rectà ad mortem. At ſequente & lugente matre, ille carnifices orabat, ut breuia quædam matri narraret in aurem. Quæ cum ilico ori filíj ſe admouiſſet, ille aurē dentib. demorſam abſcidit. Matre aūt & alíjs accuſantibus, quia non ſolum furatus ſit, ſed & in matrem impius eſſet, ille ait: hæc enim mihi perditionis fuit cauſa. Si enim cum librum furatus fui, me corripuiſſet, non ad hæc uſq; procedendo nunc ducerer ad mortem.

Affabulatio.

Fabula ſignificat, eorum qui non in principio puniuntur, in maius augeri mala.

Paſtor, & mare.

PAſtor in maritimo loco armentum paſcens, uiſo tranquillo mari, deſiderauit nauigare ad mercaturā. Venditus igitur ouibus, & palmarū fructibus emptis, ſoluit. Tempeſtate uero uehemēti facta, & naui in periculo ut ſubmergeretur, omni onere eiecto in mare, uix uacua naui euaſit incolumis. Poſt uero dies non paucos tranſeunte quodam, & maris (erat enim id forte tranquillū) quietē admirante, ſuſcepto ſermone, hic ait: cariotas iterum, ut

ἔοικεν ἀθυμεῖ, καὶ διὰ τοῦτο φαίνεται ἡσυχάζουσα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνονται.

Ῥοιὰ καὶ μηλέα.

Ροιὰ καὶ μηλέα περὶ κάλλους ἤριζον. πολλῶν δ' ἀμφισβητήσεων μεταξὺ γενομένων, βάτος ἐκ τοῦ πλησίον ἀκούσασα φραγμοῦ, παυσώμεθα εἶπεν ὦ φίλαι ποτὲ μαχόμεναι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἐν ταῖς τῶν ἀμεινόνων στάσεσι, καὶ οἱ μηδενὸς ἄξιοι πειρῶνται εἶναί τι.

Ἀσπάλαξ.

Ὁ Ἀσπάλαξ τυφλὸν ζῶόν ἐστι. φησὶν οὖν ποτε τῇ μητρὶ, συκαμινέαν μήτηρ ὁρῶ. εἶτα αὖθις φησι, λιβάνου ὀσμῆς πεπλήρωμαι. κἀκ τρίτου πάλιν χαλκῆς φησι ψηφῖδος κτύπον ἀκούω. ἡ δὲ μήτηρ ὑπολαβοῦσα εἶπεν. ὦ τέκνον. ὡς ἤδη καταμανθάνω, οὐ μόνον ὄψεως ἐστέρησαι, ἀλλὰ καὶ ἀκοῆς, καὶ ὀσφρήσεως.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀλαζόνων, τὰ ἀδύνατα κατεπαγγέλλονται, καὶ ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται.

Σφῆκες καὶ πέρδικες.

Σφῆκες καὶ πέρδικες δίψῃ συνεχόμενοι, πρὸς γεωργὸν ἦλθον παρ' αὐτοῦ αἰτοῦντες πιεῖν, ἐπαγγελλόμενοι ἀντὶ τοῦ ὕδατος ταύτην τὴν χάριν ἀποδώσειν. οἱ μὲν πέρδικες, σκάψειν τὰς ἀμπέλους.

οἱ δὲ

uidetur, deſiderat, & propterea uidetur quie-
tum.

Affabulatio.

Fabula ſignificat calamitates hominibus documenta eſſe.

Punica, & malus.

PVnica & malus de pulchritudine contendebant. Multis contentionibus interim factis, rubus ex proxima ſepe audiẽs, deſinamus ait, ô amicæ aliquando pugnare.

Affabulatio.

Fabula ſignificat in prȩſtantiorũ ſeditionibus, uiliſſimos quoqȝ conari eſſe aliquos.

Talpa.

TAlpa cæcum animal eſt. Dixit igitur aliquando matri, morũ mater uideo. Deinde rurſus ait: thuris odore plena ſum. Et tertio iterum, ærei, inquit, lapilli fragorem audio. Mater uero reſpõdendo, ait: ô filia, ut iam precipio, non ſolum uiſu priuata es, ſed & auditu, & olfactu.

Affabulatio.

Fabula ſignificat, nonnullos iactabundos, impoſſibilia promittere, & in minimis redargui.

Veſpæ, & Perdices.

VEſpæ, & ꝑdices ſitibũdæ ad agricolã, iuerunt, ab eo petẽtes bibere, promittẽtes, ꝑ aq̃ hãc gratiã reddituras. ꝑdices fodere uineas.

οἱ δὲ σφῆκες κύκλῳ περιιόντες, τοῖς κέντροις ἀπέβαλον, τοὺς κλέπτας. ὁ δὲ γεωργὸς ἔφη. ἀλλ' ἔμοι γέ εἰσι δύο βόες, οἳ μηδὲν ἐπαγγελλόμενοι, πάντα ποιοῦσιν, ἄμεινον οὖν ἐστὶν ἐκείνοις δοῦναι, ἤπερ ὑμῖν.

Επιμύθιον.

Ο μῦθος πρὸς ἄνδρας ἁρμόζει, ὠφελεῖν μὲν ἐπαγγελλομένους, βλάπτοντας δὲ μεγάλα.

Ταὼς καὶ κολιός.

Τῶν ὀρνίθων βουλομένων ποιῆσαι βασιλέα, ταὼς ἑαυτὸν ἠξίου διὰ τὸ κάλλος χειροτονεῖν, αἱρουμένων δὲ τοῦτον πάντων, κολιὸς ὑπολαβὼν ἔφη. ἀλλ' εἰ σοῦ βασιλεύοντος ἀετὸς ἡμᾶς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις;

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι τοὺς ἄρχοντας οὐ διὰ κάλλος μόνον, ἀλλὰ καὶ ῥώμην καὶ φρόνησιν ἐκλέγεσθαι δεῖ.

Μονιὸς καὶ ἀλώπηξ.

Μονιὸς ἄγριος ἐπί τινος ἑστὼς δένδρου, τοὺς ὀδόντας ἔθηγεν. ἀλώπεκος δ' ἐρομένης τὴν αἰτίαν, ὅτι μηδεμιᾶς προσκειμένης ἀνάγκης, τοὺς ὀδόντας θήγει, ἔφη, οὐκ ἀλόγως τοῦτο ποιῶ, εἰ γάρ με κίνδυνος περιστῇ, οὐκοῦν με τηνικαῦτα πρὸς τοὺς ὀδόντας ἀκονᾷν ἀσχολεῖσθαι δεήσει, ἀλλὰ μᾶλλον ἑτοίμοις οὖσι χρῆσθαι.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι δεῖ πρὸς τὸν κίνδυνον προσκευάζεσθαι.

Κορυδαλός.

Κορυδαλὸς εἰς πάγην ἁλοὺς, θρηνῶν ἔλεγεν, οἴμοι τῷ ταλαιπώρῳ καὶ δυστήνῳ πτηνῷ, οὐ χρυσόν

uespę circumcirca eundo aculeis arcere fures. At agricola ait, sed mihi sunt duo boues, qui nihil promittendo, omnia faciunt. Melius igitur est illis dare, quàm uobis.

Affabulatio.

Fabula in uiros perniciosos, qui promittunt quidem iuuare, lædunt autem admodum.

Pauo, & monedula. *graja*

AVibus creaturis regem pauo orabat ut se ob pulchritudinem eligerent. Eligentibus aũt eum omnib. monedula suscepto sermone, ait, sed si te regnãte aquila nos persequi aggressa fuerit, quomodo nobis opem feres?

Affabulatio.

Fabula significat, principes nõ modo propter pulchritudinem, sed & fortitudinẽ & prudentiam eligi oportere.

Singularis animal, & uulpes.

SIngularis agrestis cuidam adstans arbori dẽtes acuebat. Vulpe rogãte causam, quare nulla ꝑposita necessitate dentes acueret, ait, nõ ab re hoc facio. Nam si me periculũ inuaserit, minime me tunc acuendis dentibus occupatum esse oportebit, sed potius paratis uti.

Affabulatio.

Fabula significat aduersus periculum præparatum esse oportere.

Cassita.

CAssita laqueo capta, plorans dicebat, hei mihi miseræ, & infelici uolucri, Non au-

σόμ γνὸ ἐπισάμλω τινὸς, οὐκ ἄργυρον, οὐκ ἄλλο τι τῶν τι-
μίων. κόλικος δὲ σίτου μικρὸς τὸν θάνατόν μοι προὐξενήσατο.

Επιμύθιον.

Ο μῦθος πρὸς τοὺς διὰ κέρδος οὐ τελὲς, μέγαν ὑφισα-
μένους κίνδυνον.

Νεβρός.

ΝΕβρός ποτε πρὸς τὴν ἔλαφον εἶπε. πάτερ, σὺ καὶ
μείζων καὶ ταχύτερος κυνῶν πέφυκας. καὶ κέ-
ρατα πρὸς τούτοις ὑπερφυᾶ φορεῖς πρὸς ἄμυ-
ναν, τί δήποτ᾽ οὖν οὕτω τούτους φοβῇ; κἀκεῖνος γελῶν
εἶπεν. ἀληθῆ μὲν ταῦτα φὴς τέκνον, ἓν δ᾽ οἶδα, ὡς
ἐπειδὰν κυνὸς ὑλακὴν ἀκούσω, αὐτίκα πρὸς φυγὴν οὐκ
οἶδ᾽ ὅπως ἐκφέρομαι.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι τοὺς φύσει δειλοὺς οὐδεμία παραίνε-
σις ῥώννυσιν.

Λαγωοὶ καὶ βάτραχοι.

ΟΙ λαγωοί ποτε συνελθόντες, τὸν ἑαυτῶν πρὸς
ἀλλήλους ἀπεκλαίοντο βίον, ὡς ἐπισφαλὴς εἴη
καὶ δειλίας πλέως. καὶ γὰρ καὶ ὑπ᾽ ἀνθρώπων,
καὶ κυνῶν καὶ ἀετῶν, καὶ ἄλλων πολλῶν ἀναλίσκον-
ται. βέλτιον οὖν εἶναι θανεῖν ἅπαξ, ἢ διὰ βίου τρέμειν.
τοῦτο τοίνυν κυρώσαντες, ὥρμησαν κατὰ ταὐτὸν εἰς τὴν
λίμνην ὡς εἰς αὐτὴν ἐμπεσούμενοι καὶ ἀποπνιγησόμε-
νοι. τῶν δὲ καθημένων κύκλῳ τῆς λίμνης βατράχων, ὡς
τὸν τοῦ δρόμου κτύπον ᾔσθοντο, εὐθὺς εἰς ταύτην εἰσ-
πηδησάντων τῶν λαγωῶν τις ἀγχινούστερος εἶναι δο-
κῶν τῶν ἄλλων, ἔφη. στῆτε ἑταῖροι, μηδὲν δεινὸν ἡμᾶς
αὐτοὺς διαπράξησθε. ἤδη ὡς ὁρᾶτε καὶ ἡμῶν ἕτερ᾽

ἐστὶ

rũ ſurripui cuiuſq̃,nõ argentũ,nõ aliud quicq̃ pretioſum. Granũ aũt tritici paruũ,mortis mihi cauſa fuit. Affabulatio.

Fabula in eos,qui ob uile lucrum,magnum ſubeunt periculum.

Hinnulus.

HInnulus aliquando ceruo ait:Pater,tu & maior,& celerior canib. & cornua præterea ingentia geſtas ad uindictam, cur nam igitur ſic eos times? Et ille ridens,ait:uera quidem,hæc inquis fili,unum uero ſcio,quod cum canis latratum audiuero, ſtatim ad fugam neſcio quomodo efferor.

Affabulatio.

Fabula ſignificat,natura timidos nulla admonitione fortificari.

Lepores,& ranæ.

LEpores aliquando in unũ profecti,ſuã ipſorum deplorabãt uitam, quòd foret periculis obnoxia,& timoris plena quod & ab hominibus,& canib.& aquilis, & alijs multis cõſumant. Melius itaq; eſſe mori ſemel, q̃ toto uitę tempore timere.Hoc igitur firmato,impetum fecerũt ſimul in paludẽ,quaſi in eam inſulturi & ſuffocandi.Sed cũ ranæ,quæ circũ paludem ſedebant,rurſus ſtrepitu percepto,ilico in hanc inſiluiſſent,ex leporibus quidã prudentior eſſe uiſus alijs,ait:ſiſtite ô ſocij,nulla re graui uos ipſos afficite,iã ut uidetis, & nobis alia

ſunt

δὲ ζῶα δ' ἀλλότρια.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ δυστυχοῦντες, διὰ ἑτέρων χείρονα παθόντων παραμυθοῦνται.

Ὄνος καὶ ἵππος.

Ὄνος ἵππον ἐμακάριζεν, ὡς ἀφθόνως τρεφόμενον καὶ ἐπιμελῶς, αὐτὸς μηδ' ἀχύρων ἅλις ἔχων, καὶ ταῦτα, πλεῖστα ταλαιπωρῶν. ἐπεὶ δὲ καιρὸς ἐπέστη πολέμου, καὶ ὁ στρατιώτης ἔνοπλος ἀνέβη τὸν ἵππον πανταχόσε τοῦτον ἐλαύνων, καὶ δὴ καὶ μέσον τῶν πολεμίων εἰσήλασε, καὶ ὁ ἵππος πληγεὶς ἔκειτο. ταῦτα ἑωρακὼς ὁ ὄνος, τὸν ἵππον μεταβαλλόμενος ἐταλάνιζεν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τοὺς ἄρχοντας καὶ πλουσίους ζηλοῦν, ἀλλὰ τὸν κατ' ἐκείνων φθόνον, καὶ τὸν κίνδυνον ἀναλογιζομένους τὴν πενίαν ἀγαπᾶν.

Φιλάργυρος.

Φιλάργυρός τις ἅπασαν αὐτοῦ τὴν οὐσίαν ἐξαργυρισάμενος, καὶ χρυσοῦν βῶλον ποιήσας, ἔν τινι τόπῳ κατώρυξε, συγκατορύξας ἐκεῖ καὶ ψυχὴν ἑαυτοῦ καὶ τὸν νοῦν. καὶ καθ' ἡμέραν ἐρχόμενος, αὐτὸν ἔβλεπε. τῶν δ' ἐργατῶν τις αὐτὸν παρατηρήσας, καὶ τὸ γεγονὸς συννοήσας, ἀνορύξας τὸν βῶλον ἀνείλετο. μετὰ δὲ ταῦτα κἀκεῖνος ἐλθὼν, καὶ κενὸν τὸν τόπον ἰδὼν, θρηνεῖν ἤρξατο, καὶ τίλλειν τὰς τρίχας. τοῦτον δέ τις ὀλοφυρόμενον οὕτως ἰδὼν, καὶ τὴν αἰτίαν πυθόμενος, μὴ οὕτως εἶπεν ὦ οὗτος ἀθύμει. οὐδὲ γὰρ ἔχων τὸν χρυσὸν εἶχες. λίθον οὖν ἀντὶ χρυσοῦ λαβὼν θὲς, καὶ νόμιζέ σοι τὸν χρυσὸν εἶναι. τὴν αὐτὴν γάρ σοι πληρώσει χρείαν. ὡς ὁρῶ γὰρ, οὐδ' ὅτε ὁ χρυσὸς ἦν, ἐν χρήσει

ἦσθα

ſunt animalia timidiora. Affabulatio.
Fabula ſignificat, miſeros grauioribus aliorũ conſolari calamitatibus.

Aſinus, & equus.

ASinus equũ beatũ putabat, ꝙ abũdanter nutriret & accurate, cũ ipſe neq; palearum ſatis haberet, præſertimq; defatigatus. Cũ aũt tempus inſtitit belli, & miles armatũ aſcendit equũ, huc illuc ipſum impellẽdo, cæterũ & in medios hoſtes inſiluit, & equus uulneratus iacebat. His uiſis, aſinus equũ mutata ſentẽtia miſerũ exiſtimabat. Affabulatio.
Fabula ſignificat. nõ oportere principes & diuites æmulari, ſed in illos inuidia, & periculo conſideratis, paupertatem amare.

Auarus.

AVarus quidam cũ omnia ſua bona uendidiſſet, & aureã maſſã feciſſet, in loco quodã infodit, unà defoſſo illic & animo ſuo & mẽte. Atq; quotidie eundo, ipſam uidebat. Id autẽ ex operis quidã obſeruando cognouit, & refoſſam maſſam abſtulit. Poſt hæc & ille profectus, & uacuũ locũ uidens lugere cœpit, & capillos euellere. Hũc cũ quidam uidiſſet ſic plorantem, & cauſam audiuiſſet, ne ſic ait ô tu triſtare. Neq; enim habens aurũ, habebas. Lapidem igitur pro auro acceptũ reconde, & puta tibi aurum eſſe, eundem enim tibi uſum pręſtabit. Nam, ut uideo, neq; cum aurũ erat, utebare

ἦλθε τοῦ κτήματος. Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδὲν ἡ κτῆσις, ἐὰν μὴ ἡ χρῆσις προσῇ.

Χῆνες καὶ γέρανοι.

Χῆνες καὶ γέρανοι ἐπὶ ταὐτοῦ λειμῶνος ἐνέμοντο. τῶν δὲ θηρευτῶν ἐπιφανέντων, οἱ μὲν γέρανοι κοῦφοι ὄντες, ταχέως ἀπέπτησαν. οἱ δὲ χῆνες διὰ τὸ βάρος τῶν σωμάτων μείναντες, συνελήφθησαν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ ἐν ἁλώσει πόλεως, οἱ μὲν ἀκτήμονες εὐχερῶς φεύγουσιν, οἱ δὲ πλούσιοι δουλεύουσιν ἁλισκόμενοι.

Χελώνη καὶ ἀετός.

Χελώνη ἀετοῦ ἐδεῖτο ἵπτασθαι ταύτην διδάξαι. τοῦ δὲ παραινοῦντος πόρρω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. λαβὼν οὖν ταύτην τοῖς ὄνυξι, καὶ εἰς ὕψος ἀνενεγκὼν, εἶτ' ἀφῆκεν. ἡ δὲ κατὰ πετρῶν πεσοῦσα, συνετρίβη.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ ἐν φιλονεικίαις τῶν φρονιμωτέρων παρακούσαντες, ἑαυτοὺς ἔβλαψαν.

Ψύλλα.

Ψύλλα ποτὲ πηδήσασα, ἐπὶ πόδα ἀνδρὸς ἐκάθισεν. ὁ δὲ τὸν ἡρακλῆ ἐπὶ συμμαχίαν ἐκάλει. τῆς δὲ, ἐκεῖθεν αὖθις ἀφελομένης, στενάξας εἶπεν. ὦ ἡράκλεις, εἰ ἐπὶ ψύλλῃ οὐ συνεμάχησας, πῶς ἐπὶ μείζοσιν ἀνταγωνισταῖς συνεργήσεις;

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, μὴ δεῖν ἐπὶ τῶν ἐλαχίστων τὸν θεὸν δεῖσθαι, ἀλλ' ἐπὶ τῶν ἀναγκαίων.

bare. Affabulatio.
Fabula ſignificat, nihil eſſe poſſeſſionē, niſi uſus adfuerit.

Anſeres, & grues.

ANſeres, & grues in eodē prato paſcebātur. Venatoribus aūt uiſis, grues, ꝙ eſſent leues, ſtatim euolauerunt, anſeres uero ob onus corporū cum manſiſſent, capti fuerunt.

Affabulatio.

Fabula ſignificat, et in expugnatione urbis, inopes facile fugere, diuites autē ſeruire captos.

Teſtudo, & Aquila.

TEſtudo orabat aquilam, ut ſe uolare doceret, Ea autem admonēte procul hoc à natura ipſius eſſe, illa magis precibus inſtabat. Accepit igitur ipſam unguibus, & in altum ſuſtulit, inde demiſit. Hæc autem in petras cecidit, & contrita eſt.

Affabulatio.

Fabula ſignificat, multos, quia in contentionibus prudentiores nō audierint, ſe ipſos læſiſſe.

Pulex.

PVlex aliquando ſaltans, uiri pedi inhęſit. hic aūt Herculē in auxiliū inuocabat. At hic cū illinc rurſus ſaltaſſet, ſuſpirādo ait. ô Hercules, ſi cōtra pulicē nō auxiliatus es, quomodo contra maiores aduerſarios adiuuabis?

Affabulatio.

Fabula ſignificat non oportere in minimis deum rogare, ſed in neceſſarijs.

Cerua

Ἔλαφος.

Ἔλαφος τὸν ἕτερον πεπηρωμένη τῶν ὀφθαλμῶν, ἐπ' ἠϊόνος ἐνέμετο, τὸν μὲν ὑγιᾶ τῶν ὀφθαλμῶν πρὸς τὴν ξηρὰν διὰ τοὺς κυνηγοῦντας ἔχουσα, τὸν δὲ λοιπὸν πρὸς θάλασσαν, ὅθεν οὐδὲν ὑπώπτευε. παραπλεόντες δέ τινες, καὶ τούτου στοχασάμενοι, αὐτῆς κατετόξευσαν. ἡ δ' ἑαυτὴν ὠλοφύρετο, ὡς ὑφ' ἧς μὲν ἐδεδίει, μηδὲν παθοῦσα, ἣν δ' οὐκ ᾤετο κακὸν ἐπάξειν, ὑπὸ ταύτης προδεδομένη.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις ἡμῖν τὰ βλαβερὰ δοκοῦντα ὠφέλιμα γίνεται, τὰ δ' ὠφέλιμα, βλαβερά.

Ἔλαφος καὶ λέων.

Ἔλαφος κυνηγοὺς φεύγουσα, εἰς ἄντρον εἰσέδυ, λέοντι δ' ἐκεῖ περιτυχοῦσα, ὑπ' αὐτοῦ συνελήφθη, θνήσκουσα δ' ἔλεγεν, οἴμοι ὅτι ἀνθρώπους φεύγουσα, τῷ τῶν θηρίων ἀγριωτάτῳ περιέπεσον.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων μικροὺς κινδύνους φεύγοντες, μεγάλων ἐπειράθησαν.

Ἔλαφος καὶ ἄμπελος.

Ἔλαφος κυνηγοὺς φεύγουσα, ὑπ' ἀμπέλῳ ἐκρύβη. παρελθόντων δ' ὀλίγον ἐκείνων, ἡ ἔλαφος τελέως ἤδη λαθεῖν δόξασα, τῶν τῆς ἀμπέλου φύλλων ἐσθίειν ἤρξατο. τούτων δὲ σειομένων, οἱ κυνηγοὶ ἐπιστραφέντες, καὶ ὅπερ ἦν ἀληθὲς, νομίσαντες τῶν ζώων ὑπὸ τοῖς φύλλοις τι κρύπτεσθαι, βέλεσιν ἀνεῖλον τὴν ἔλαφον. ἡ δὲ θνήσκουσα, τοιαῦτ' ἔλεγε. δίκαια πέπονθα, οὐ γὰρ ἔδει τὴν σώσασάν με λυμαίνεσθαι.

Ἐπιμύ

Cerua.

CErua altero obcæcata oculo, in litore pascebatur, sanum oculum ad terram propter uenatores habens, alterum uero ad mare, unde nihil suspicabatur. Præternauigantes aũt quidam, & hoc coniectantes, ipsam sagittarunt. Hæc aũt seipsam lugebat, quod unde timuerat, nihil passa foret: quod nõ putabat malum allaturum, ab eo proditam.

Affabulatio.

Fabula significat, sæpe quę nobis noxia uidentur, utilia fieri: quæ uero utilia, noxia.

Cerua, & Leo.

CErua uenatores fugiẽs in spelũcã ingressa est, in leonem autẽ ibi cũ incidisset, ab eo cõprehensa est, moriẽs aũt dicebat, hei mihi ꝙ homines fugiẽs, in ferarũ immitissimũ incidi.

Affabulatio.

Fabula significat, multos homines dum parua fugiunt pericula, in magna incurrere.

Cerua & uitis.

CErua uenatores fugiẽs, sub uite delituit. Cum præterijssent aũt parũper illi, cerua prorsus iã latere arbitrata, uitis folia depasci incepit. Illis uero agitatis, uenatores conuersi, & ꝙ erat uerũ, arbitrati animal aliquod sub folijs occultari, sagittis cõfecerũt ceruam. Hęc aũt moriens talia dicebat, iusta passa sum, non eñ offendere oportebat. quę me seruarat.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ ἀδικοῦντες τοὺς εὐεργέτας, ὑπὸ θεοῦ κολάζονται.

Ὄνος καὶ λέων.

Ὄνῳ ποτὲ ἀλεκτρυὼν συνεβόσκετο. λέοντος δ' ἐπελθόντος τῷ ὄνῳ, ὁ ἀλεκτρυὼν ἐφώνησε. καὶ ὁ μὲν λέων, φασὶ γὰρ τοῦτον τὴν ἀλεκτρυόνος φωνὴν φοβεῖσθαι, ἔφυγεν. ὁ δ' ὄνος νομίσας δι' αὐτὸν πεφευγέναι, ἐπέδραμεν εὐθὺς τῷ λέοντι. ὡς δὲ πόρρω τοῦτον ἐδίωξεν ἔνθα μηκέτι ἡ τοῦ ἀλεκτρυόνος ἀφικνεῖτο φωνὴ, στραφεὶς ὁ λέων κατεθοινήσατο. ὁ δὲ θνήσκων ἐβόα. ἄθλιος ἐγὼ καὶ ἀνόητος, πολεμιστῶν γὰρ μὴ ὢν γονέων, τίνος χάριν εἰς πόλεμον ἐξωρμήθην;

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων ταπεινουμένοις ἐπίτηδες τοῖς ἐχθροῖς ἐπιτίθενται, καὶ οὕτως ὑπ' ἐκείνων ἀπόλλυνται.

Κηπωρὸς καὶ κύων.

Κηπωροῦ κύων εἰς φρέαρ κατέπεσεν. ὁ δὲ κηπωρὸς βουλόμενος αὐτὸν ἐκεῖθεν ἀνενεγκεῖν κατῆλθε καὶ αὐτὸς εἰς τὸ φρέαρ. οἰηθεὶς δ' ὁ κύων, ὡς κατωτέρω μᾶλλον αὐτὸν παραγέγονε καταδῦσαι, τὸν κηπωρὸν στραφεὶς ἔδακεν. ὁ δὲ μετ' ὀδύνης ἐπανιὼν, δίκαιά φησι πέπονθα. τί δήποτε γὰρ τὸν αὐτόχειρα σῶσαι ἐσπούδασα.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἀδίκους, καὶ ἀχαρίστους.

Σῦς καὶ κύων.

Σῦς καὶ κύων ἀλλήλοις ἐλοιδοροῦντο. καὶ ἡ μὲν σῦς ὤμνυε κατὰ τῆς ἀφροδίτης ἦ μὴν τοῖς ὀδοῦσιν ἀναρρήξειν

Affabulatio.

Fabula significat, qui iniuria benefactores afficiunt, à deo puniri.

Asinus, & leo.

CVm asino gallus aliquando pascebatur. Leone aũt aggresso asinũ, gall9 exclamauit, & leo (aiũt eñ hũc galli uocẽ timere) fugit. At asinus ratus ꝓpter se fugere, aggressus est statim leonẽ. Vt uero ꝓcul hũc ꝑsecut9 est, quò nõ amplius galli perueniebat uox, cõuersus leo deuorauit. Hic uero moriens clamabat, me miserũ & dementẽ. Ex pugnacibus eñ nõ natus parentib. cuius gratia in aciem irrui.

Affabulatio.

Fabula significat, plerosq; homines, inimicos, qui se de industria humiliarunt, aggredi, atq; ita ab illis occidi.

Olitor, & canis.

OLitoris canis in puteũ decidit, olitor aũt ipsum illinc extracturus, descẽdit & ipse in puteũ. Ratus autẽ canis accessisse ut se inferius magis obrueret, olitorẽ uersus momordit. Hic aũt cũ dolore reuersus, iusta, inqt, patior. Nam cur unq; sui interfectorẽ seruare studui?

Affabulatio.

Fabula in iniustos, & ingratos.

Sus, & canis.

SVs & canis mutuo cõuiciabanẽ. Et sus iurabat per Venerẽ, proculdubio dentibus

ἀναῤῥήξειν τὴν κύνα. ἡ δὲ κύων πρὸς ταῦτα εἰρωνικῶς εἶπε. καλῶς νὴ τὴν ἀφροδίτης ἡμῖν ὀμνύεις. δηλοῖς γὰρ ὑπ' αὐτῆς ὅτι μάλιστα φιλεῖσθαι. ἣ τὸν τῶν σῶν ἀκαθάρτων σαρκῶν γευόμενον, οὐδ' ὅλως εἰς ἱερὸν προσίεται. καὶ ἡ σῦς, διὰ τοῦτο μὲν οὖν μᾶλλον δήλη ἐστὶν ἡ θεὸς στέργουσά με. τὸν γὰρ κτείναντα, ἢ ἄλλως λυμαινόμενον παντάπασιν ἀποστρέφεται. σὺ μὲν τοι κακῶς ὄζεις καὶ ζῶσα καὶ τεθνηκυῖα.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ῥητόρων, τὰ ὑπὸ τῶν ἐχθρῶν ὀνείδη, εὐμεθόδως εἰς ἔπαινον μετασχηματίζουσιν.

Υς καὶ κύων.

Υς καὶ κύων περὶ εὐτοκίας ἤριζον. ἔφη δ' ἡ κύων εὔτοκος εἶναι μάλιστα πάντων τῶν πεζῶν. καὶ ἡ ὗς ὑποτυχοῦσα πρὸς ταῦτά φησιν. ἀλλ' ὅταν τοῦτο λέγῃς, ἴσθι ὅτι καὶ τυφλοὺς τοὺς σαυτοῦ σκύλακας τίκτεις.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οὐκ ἐν τῷ τάχει τὰ πράγματα, ἀλλ' ἐν τῇ τελειότητι κρίνεται.

Οφις καὶ καρκῖνος.

Οφις καρκίνῳ συνδιῃτᾶτο, ἑταιρείαν πρὸς αὐτὸν ποιησάμενος. ὁ μὲν οὖν καρκῖνος ἁπλοῦς ὢν τὸν τρόπον, μεταβαλέσθαι κἀκεῖνον παρῄνει τῆς πανουργίας. ὁ δὲ οὐδέποτε ἑαυτὸν παρεῖχε πειθόμενον. ἐπιτηρήσας δ' ὁ καρκῖνος αὐτὸν ὑπνοῦντα, καὶ ὅσον οἷόν τε πιέσας, φονεύει. τοῦ δ' ὄφεως μετὰ θάνατον ἐκταθέντος, ἐκεῖνος εἶπεν. οὕτως ἔδει καὶ πρόσθεν εὐθὺν καὶ ἁπλοῦν εἶναι. οὐ δὲ γὰρ ἂν ταύτην τὴν

discissurum canem.canis uero ad hæc per ironiam dixit,bene per Venerem nobis iuras.Significas em̃ ab ipsa uehementer amari,quę impuras tuas carnes degustantẽ,nullo pacto in sacellum admittit.Et sus,propter hoc igitur magis præ se fert dea amare me. Nam occidentẽ, aut alio quouis modo lędentem omnino auersatur. Tu tamen male oles & uiua & mortua.

Affabulatio.

Fabula significat prudentes oratores, quæ ab inimicis obijciuntur,artificiose in laudem conuertere.

Sus,& canis

SVs & canis de fœcũditate certabãt, dixit aũt canis,fœcunda esse maxime pedestriũ omniũ.Et sus occurrens ad hæc,inquit: sed cũ hæc dicis,scito & cęcos tuos te catulos parere.

Affabulatio.

Fabula significat, non in celeritate res, sed in perfectione iudicari.

Serpens,& cancer.

SErpens unà cũ cancro uiuebat, inita cum eo societate. Itaq; cancer simplex moribus,ut & ille mutaret admonebat astutiã. Hic autem minime obediebat.Cum obseruasset igitur cancer ipsum dormientem, & pro uiribus compressisset, occidit. At serpente post mortem extenso,ille ait: sic oportebat ante hac rectum & simplicem esse. Neque enim hanc

 poenam

δίκην ἐτίσας.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς φίλοις σὺν δόλῳ προσιόντες, αὐτοὶ μᾶλλον βλάπτονται.

Ποιμὴν καὶ λύκος.

Ποιμὴν νεογνὸν λύκου σκύμνον εὑρὼν, καὶ ἀνελόμενος, σὺν τοῖς κυσὶν ἔτρεφεν. ἐπεὶ δ' ηὐξήθη, εἴποτε λύκος πρόβατον ἥρπασε, μετὰ τῶν κυνῶν καὶ αὐτὸς ἐδίωκε. τῶν δὲ κυνῶν ἔσθ' ὅτε μὴ δυναμένων καταλαβεῖν τὸν λύκον, καὶ διὰ ταῦτα ὑποστρεφόντων, ἐκεῖνος ἠκολούθει, μέχρις ἂν τοῦτον καταλαβὼν, οἷα δὴ λύκος συμμετάσχῃ τῆς θήρας, εἶτα ὑπέστρεφεν. εἰ δὲ λύκος ἔξωθεν ἁρπάσειε πρόβατον, αὐτὸς λάθρα θύων, ἅμα τοῖς κυσὶν ἐθοινεῖτο, ἕως ὁ ποιμὴν στοχασάμενος, καὶ συνεὶς τὸ δρώμενον, εἰς δένδρον αὐτὸν ἀναρτήσας ἀπέκτεινεν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι φύσις πονηρὰ χρηστὸν ἦθος οὐ τρέφει.

Λέων καὶ λύκος.

Λέων γηράσας, ἐνόσει κατακεκλιμένος ἐν ἄντρῳ. παρῆσαν δ' ἐπισκεψόμενα τὸν βασιλέα πλὴν ἀλώπεκος, τἄλλα τῶν ζώων. ὁ τοίνυν λύκος λαβόμενος εὐκαιρίας, κατηγόρει παρὰ τῷ λέοντι τῆς ἀλώπεκος, ἅτε δὴ παρ' οὐδὲν τιθεμένης τὸν πάντων αὐτῶν κρατοῦντα, καὶ διὰ τοῦτο μηδ' εἰς ἐπίσκεψιν ἀφιγμένης. ἐν τοσούτῳ δὲ παρῆν καὶ ἡ ἀλώπηξ, καὶ τῶν τελευταίων ἠκροάσατο τοῦ λύκου ῥημάτων. ὁ μὲν οὖν λέων κατ' αὐτῆς ἐβρυχᾶτο. ἡ δ' ἀπολογίας καιρὸν αἰτήσασα, καὶ τίς ἔφη τῶν συνελθόντων τοσοῦτον

pœnam dedisses. Affabulatio.
Fabula significat, qui cũ dolo amicos adeunt, ipsos offendi potius.

Pastor, & lupus.

PAstor nuper natum lupi catulum reperit, ac sustulit, unaq; cũ canibus nutriuit. At cũ adoleuisset, si quãdo lupus ouẽ rapuisset, cum canibus & ipse persequebatur. Cum canes uero aliquãdo nõ possent assequi lupũ, atq; ideo reuerterẽtur, ille sequebatur, ut cum ipsum assecutus esset, ut lupus, particeps foret uenationis: inde redibat. Sin autẽ lupus extra nõ rapuisset ouem, ipsa clàm occidens, unà cũ canibus comedebat, donec pastor cum coniectasset & intellexisset rem, de arbore ipsum suspendit, & occidit.

Affabulatio.

Fabula significat, naturam prauam bonos mores non nutrire.

Leo, & lupus.

LEo cũ cõsenuisset, ægrotabat iacens in antro: accesserũt aũt uisitatura regẽ, præter uulpẽ, cætera animalia. Lupus igiť capta occasiõe accusabat apud leonẽ uulpẽ, quasi nihili facientẽ suũ omniũ dominũ, & propterea neq; ad uisitationẽ profectã. Interim affuit & uulpes, & ultima audiuit lupi uerba. Leo igiť cõtra eã infremuit: sed defensionis tempore petito, & quis, inquit, eorũ qui cõuenerunt tantũ

ὠφέλησιν, ὅσον ἐγὼ πανταχόσε περινοστήσασα, καὶ θεραπείαν ὑπὲρ σοῦ παρ' ἰατροῦ ζητήσασα, καὶ μαθοῦσα; τοῦ δὲ λέοντος εὐθὺς τὴν θεραπείαν εἰπεῖν κελεύσαντος, ἐκείνη φησὶν, εἰ λύκον ζῶντα ἐκδείρας, τὴν αὐτοῦ δορὰν θερμὴν ἀμφιέσῃ. καὶ τοῦ λύκου κειμένου, ἡ ἀλώπηξ γελῶσα εἶπε, οὕτως οὐ χρὴ τὸν δεσπότην πρὸς δυσμένειαν κινεῖν, ἀλλὰ πρὸς εὐμένειαν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ὁ καθ' ἑτέρου μηχανώμενος, καθ' ἑαυτοῦ τὴν πάγην περιτρέπει.

Γυνή.

Γυνή τις ἄνδρα μέθυσον εἶχε. τοῦ δὲ πάθους αὐτὸν ἀπαλλάξαι θέλουσα, τοιόνδε τι σοφίζεται. κεκαρωμένον γὰρ αὐτὸν ὑπὸ τῆς μέθης παρατηρήσασα, καὶ νεκροῦ δίκην ἀναισθητοῦντα, ἐπ' ὤμων ἄρασα, ἐπὶ τὸ πολυάνδριον ἀπενεγκοῦσα κατέθετο καὶ ἀπῆλθεν. ἡνίκα δ' αὐτὸν ἤδη ἀνανήφειν ἐστοχάσατο, προσελθοῦσα τὴν θύραν ἔκοπτε τοῦ πολυανδρίου. ἐκείνου δὲ φήσαντος, τίς ὁ τὴν θύραν κόπτων; ἡ γυνὴ ἀπεκρίνατο, ὁ τοῖς νεκροῖς τὰ σιτία κομίζων, ἐγὼ πάρειμι. κἀκεῖνος, μή μοι φαγεῖν, ἀλλὰ πιεῖν ὦ βέλτιστε μᾶλλον προσένεγκε. λυπεῖς γάρ με βρώσεως, ἀλλὰ μὴ πόσεως μνημονεύων. ἡ δὲ τὸ στῆθος πατάξασα. οἴμοι τῇ δυστήνῳ φησίν. οὐδὲ γὰρ οὐδὲ σοφισαμένη ὤνησα. σὺ γὰρ ἀνὴρ οὐ μόνον οὐκ ἐπαιδεύθης, ἀλλὰ καὶ χείρων σαυτοῦ γέγονας, εἰς ἕξιν σοι καταστάντος τοῦ πάθους.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐ δεῖ ταῖς κακαῖς πράξεσιν ἐγχρονίζειν. ἔστι γὰρ ὅτε καὶ μὴ θέλοντι τῷ ἀνθρώπῳ

profuit,quantũ ego,quæ in omnẽ partẽ circui ui,et medicamentũ pro te à medico quęsiui,& didici?Cũ aũt leo ſtatim,ut medicamentũ dice ret,imperaſſet,illa inquit,ſi lupo uiuente exco riato,ipſius calidã pellẽ indueris. Et lupo iacẽ te,uulpes ridens,ait,ſic nõ oportet dominũ ad maleuolentiã mouere,ſed ad beneuolentiam.

Affabulatio.

Fabula ſignificat,eum qui quotidie machinatur,in ſeipſum laqueum uertere.

Mulier.

MVlier quędã uirũ ebriũ habebat,ipſum aũt à morbo liberatura, tale qd cõmẽta eſt. Aggrauatũ enim ipſum ab ebrietate cũ ob ſeruaſſet,& mortui inſtar inſenſatum,in hume ros eleuatũ, in ſepulchretũ allatũ depoſuit, & abiuit. Cũ uero ipſum iam ſobriũ eſſe coniecta ta eſt, profecta ianuã pulſauit ſepulchreti. ille aũt cũ diceret,qs eſt, qui pulſauit ianuã? uxor reſpondit, mortuis cibaria ferẽs ego adſum. Et ille:nõ mihi comeſſe, ſed bibere ô optime poti us affer,triſtificas eñ me,cũ cibi,nõ potus me miniſti. Hæc aũt pectus plangẽdo,hei mihi miſeræ,inquit,nam neq; aſtu profui:tu eñ uir nõ ſolũ non emendatus es,ſed peior quoq; te ipſo euaſiſti, in habitum tibi deductus eſt morbus.

Affabulatio.

Fabula ſignificat non oportere malis actibus immorari:nam & uolentẽ quandoq; hominẽ,

τὸ ἔθος ἐπιτίθεται.

Κύκνος.

ΑΝὴρ εὔπορῶν χῆνά τε ἅμα καὶ κύκνον ἔτρεφεν. οὐκ ἐπὶ τοῖς αὐτοῖς μὲν τοι. τὸν μὲν γὰρ, ᾠδῆς. τὸν δὲ, τραπέζης ἕνεκεν. ἐπεὶ δὲ ἔδει τὸν χῆνα παθεῖν ἐφ' οἷς ἐτρέφετο, νὺξ μὲν ἦν, καὶ διαγινώσκειν ὁ καιρὸς οὐκ ἀφῆκεν ἑκάτερον. ὁ δὲ κύκνος ἀντὶ τοῦ χηνὸς ἀπαχθεὶς, ᾄδει τι μέλος θανάτου προοίμιον. καὶ τῇ μὲν ᾠδῇ μηνύει τὴν φύσιν. τὴν δὲ τελευτὴν διαφεύγει τῷ μέλει.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι πολλάκις ἡ μουσικὴ, τελευτῆς ἀναβολὴν ἀπεργάζεται.

Αἰθίοψ.

ΑΙθίοπά τις ὠνήσατο, τοιοῦτον αὐτῷ τὸ χρῶμα εἶναι δοκῶν ἀμελείᾳ τοῦ πρότερον ἔχοντος. καὶ παραλαβὼν οἴκαδε, πάντα μὲν αὐτῷ προσῆγε τὰ ῥύματα, πᾶσι δὲ λουτροῖς ἐπειρᾶτο καθαίρειν. καὶ τὸ μὲν χρῶμα μεταβαλεῖν οὐκ εἶχε, νοσεῖν δὲ τὸ πονεῖν παρεσκεύασεν.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι μένουσιν αἱ φύσεις, ὡς προῆλθον τὴν ἀρχήν.

Χελιδὼν καὶ κορώνη.

ΧΕλιδὼν καὶ κορώνη περὶ κάλλους ἐφιλονείκουν. ὑποτυχοῦσα δ' ἡ κορώνη, πρὸς αὐτὴν εἶπεν, ἀλλὰ τὸ μὲν σὸν κάλλος τῇ ἐαρινῇ ὥρᾳ ἀνθεῖ, τὸ δ' ἐμὸν σῶμα καὶ χειμῶνι παρατείνεται.

Επιμύθιον.

Ο μῦθος

consuetudo inuadit.

Cycnus.

VIr diues anseremq́; simul & cycnum nutriebat, nō ad eadem tamen, sed alterum cantus, alterum mensæ gratia. Cum autē oporteret anserem pati ea, quorum causa nutriebatur, nox erat, ac discernere tempus non permisit utrunq́;. Cycnus autē pro ansere abductus, cantat cantum quendam, mortis exordium, & cantu significat naturam, mortem uero effugit suauitate canendi.

Affabulatio.

Fabula significat, sæpe Musicē differre mortē.

Aethiops.

AEthiopem quidam emit talem ei colorē inesse ratus negligentia eius, qui prius habuit. Ac assumpto in domū, omnes ei adhibuit abstersiones, omnibus lauacris tentauit mundare: & colorem quidem transmutare nō potuit, sed morbum uexatio parauit.

Affabulatio.

Fabula significat, manere naturas, ut à principio prouenerunt.

Hirundo, & cornix.

HIrundo & cornix de pulcritudine cōtendebant. Respondens aūt cornix ei, dixit: sed tua pulchritudo uerno tempore floret, meum uero corpus etiam hyeme durat.

Affabulatio.

Fabula

Ο μῦθος δηλοῖ, ὅτι ἡ περίτασις τοῦ σώματος, δυσπορείας κρείττων ἐστί.

Βούταλις.

ΒΟύταλις ἀπό τινος θυρίδος ἐκρέματο. νυκτερὶς δὲ προσελθοῦσα, ἐπυνθάνετο τὴν αἰτίαν, δι' ἣν ἡμέρας μὲν ἡσυχάζει, νύκτωρ δὲ ᾄδει. τῆς δὲ μὴ μάτην τοῦτο ποιεῖν λεγούσης, ἡμέρας γάρ ποτε ᾄδουσα συνελήφθη, καὶ διὰ τοῦτο ἀπ' ἐκείνου ἐσωφρονίσθη, ἡ νυκτερὶς εἶπεν. ἀλλ' οὐ νῦν σε φυλάττεσθαι δεῖ, ὅτε μηδὲν ὄφελος, ἀλλὰ πρίν, ἢ συλληφθῆναι.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι ἐπὶ τοῖς ἀτυχήμασιν ἀνόνητος ἡ μετάνοια.

Κοχλίαι.

ΓΕοργοῦ παῖς ὤπτα κοχλίας. ἀκούσας δὲ αὐτῶν τριζόντων, ἔφη. ὦ κάκιστα ζῶα, τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων, αὐτοὶ ᾄδετε;

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι πᾶν τὸ παρὰ καιρὸν δρώμενον ἐπονείδιστον.

Γυνὴ καὶ θεράπαιναι.

ΓΥνὴ χήρα φιλεργὸς θεραπαινίδας ἔχουσα, ταύτας εἰώθει νυκτὸς ἐγείρειν ἐπὶ τὰ ἔργα πρὸς τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. αἱ δέ, συνεχῶς τῷ πόνῳ ταλαιπωρούμεναι, ἔγνωσαν δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀποκτεῖναι ἀλεκτρυόνα, ὡς ἐκείνου νύκτωρ διανιστάντος τὴν δέσποιναν. συνέβη δ' αὐταῖς τοῦτο διαπραξαμέναις, χαλεπωτέροις περιπεσεῖν τοῖς δεινοῖς. ἡ γὰρ δέσποτις ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν ἐννυχώτερον

ταύτας

Fabula ſignificat durationem corporis, deco-re meliorem eſſe.

Butalis.

BVtalis à feneſtra quadã pendebat, ueſpertilio aũt profecta rogauit cauſam, quare die ſilet, nocte canit. Cum autem ea non incaſſum hoc facere dixiſſet, nam die canendo olim capta fuerat, & propterea ex illo prudens euaſit, ueſpertilio ait, ſed non nunc te cauere oportet, cum nulla utilitas, ſed ante ꝙ capereris.

Affabulatio.

Fabula ſignificat, in infortunijs inutilem eſſe pœnitentiam.

Cochleæ.

RVſtici filius aſſabat cochleas. Cũ autẽ audiret eas ſtridentes, ait: ô peſſimę animantes domibus ueſtris incenſis uos canitis.

Affabulatio.

Fabula ſignificat omne intempeſtiue factum, uituperabile.

Mulier, & ancillæ.

MVlier uidua operoſa ancillas habens, has ſolebat noctu excitare ad opera ad gallorum cantus. His uero aſſidue defatigatis labore, uiſum eſt oportere domeſticum occidere gallum, tanquam illum qui noctu excitaret heram. Euenit autem ipſis, hoc facto, ut in grauiora inciderent mala. Nam hera ignorans gallorum horam, temporius

ταύτας ἀνίστη.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πολλοῖς ἀνθρώποις τὰ βουλεύματα, κακῶν αἴτια γίνεται.

Γυνὴ μάγος.

Γυνὴ μάγος θείων μηνιμάτων ἀποτροπιασμοὺς ἐπαγγελλομένη, πολλὰ διατέλει ποιοῦσα, καὶ κέρδος ἐν τούτοις ἔχουσα. γραψάμενοι δέ τινες αὐτὴν ἀσεβείας, εἷλον. καὶ καταδικασθεῖσαν ἀπῆγον εἰς θάνατον. ἰδὼν δέ τις ἀπαγομένην αὐτὴν ἔφη. ἡ τὰς τῶν θεῶν ὀργὰς ἀποτρέπειν ἐπαγγελλομένη, πῶς οὐδὲ ἀνθρώπων βουλὴν μεταπεῖσαι ἠδυνήθης.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι, πολλοὶ μεγάλα ἐπαγγέλλονται μὴ δὲ μικρὰ ποιῆσαι δυνάμενοι.

Γαλῆ.

Γαλῆ εἰς ἐργαστήριον εἰσελθοῦσα χαλκέως, τὴν ἐκεῖ κειμένην περιέλειχε ῥίνην. ξυομένης δὲ τῆς γλώττης. αἷμα πολὺ ἐφέρετο. ἡ δὲ ἥδετο, νομίζουσά τι τοῦ σιδήρου ἀφαιρεῖν, ἄχρις οὗ παντελῶς πᾶσαν τὴν γλῶσσαν ἀνήλωσεν.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς τοὺς ἐν φιλονεικίαις ἑαυτοὺς βλάπτοντας.

Γεωργός.

Γεωργός τις σκάπτων, χρυσίῳ περιέτυχε. καθ' ἑκάστην οὖν τὴν γῆν ὡς ὑπ' αὐτῆς εὐεργετηθεὶς ἔστεφε. τῷ δὲ ἡ τύχη ἐπιστᾶσα, φησίν. ὦ οὗτος, τί τῇ γῇ τὰ ἐμὰ δῶρα προσανατίθης, ἅπερ ἐγώ σοι δέδωκα, πλουτίσαι σε βουλομένη; εἰ γὰρ ὁ καιρὸς μεταβάλοι,

καὶ

eos excitabat. Affabulatio.
Fabula significat plerisque hominibus consilia esse malorum causas.

Mulier uenefica.

MVlier uenefica diuinarum irarum propulsiones promittens, multa facere perseuerabat, & lucrũ inde facere. qdã igit accusauerunt eam impietatis, & conuicerunt, & damnatam ducebant ad mortẽ, Videns autem quidam eam duci, ait: tu, quę deorum iras auertere promittebas, quomodo neque hominũ consilium mutare potuisti?

Affabulatio.

Fabula significat, multos magna promittẽtes. ne parua quidem facere posse.

Mustela.

MVstela in officinam ingressa ferrarij, ibi iacentem circumlambebat limã. Rasa igitur lingua sanguis multus ferebatur. Hæc aũt lætabatur, rata ex ferro aliqd auferre, donec penitus totam linguam absumpsit.

Affabulatio.

Fabula in eos qui in cõtentionibus se ipsos offendunt. Agricola.

AGricola qdã fodiẽdo aurũ reperit, quotidie igitur terrã, ut ab ea beneficio affectus, coronabat. Huic aũt Fortuna adstãs, inqt, heus tu, cur terræ mea munera attribuis, quæ ego tibi dedi ditatura te? nã si tẽpus immutet

&

καὶ πρὸς ἑτέρας χεῖρας τοῦτό σου τὸ χρυσίον ἔλθοι, οἷ[...]
ὅτι τὴν τοιαύτην μοι τὴν τύχην μέμψῃ.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι χρὴ τὸν εὐεργέτην ἐπιγινώσκειν, καὶ τούτῳ χάριτας ἀποδιδόναι.

Ὁδοιπόροι.

Δύο τινὲς ἐπὶ ταυτὸν ὡδοιπόρουν. καὶ θατέρου πέλεκυν εὑρόντος, ἅτερος ὁ μὴ εὑρὼν παρῄνει αὐτὸν μὴ λέγειν εὕρηκα, ἀλλ' εὑρήκαμεν. μετὰ μικρὸν ἐπελθόντων αὐτοῖς τῶν τὸν πέλεκυν ἀποβεβληκότων, ὁ ἔχων αὐτὸν διωκόμενος, πρὸς τὸν μὴ εὑρόντα συνοδοιπόρον ἔλεγεν, ἀπολώλαμεν. ὁ δ' εἶπεν, ἀπόλωλα λέγε, οὐκ ἀπολώλαμεν. καὶ γὰρ καὶ ὅτε τὸν πέλεκυν εὗρες, εὕρηκα ἔλεγες, οὐχ εὑρήκαμεν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι μὴ μεταλαμβάνοντες τῶν εὐτυχημάτων, οὐδ' ἐν ταῖς συμφοραῖς βέβαιοί εἰσι φίλοι.

Βάτραχοι.

Δύο βάτραχοι ἀλλήλοις ἐγειτνίων. ἐνέμοντο δέ, ὁ μὲν εἰς ἐν βαθείᾳ καὶ πόῤῥω τῆς ὁδοῦ λίμνῃ. ὁ δέ, ἐν ὁδῷ, μικρὸν ὕδωρ ἔχων. καὶ δὴ τοῦ ἐν τῇ λίμνῃ θατέρῳ παρακινοῦντος πρὸς αὐτὸν μεταβῆναι, ὡς ἂν ἀσφαλεστέρας διαίτης μεταλάβῃ, ἐκεῖνος οὐκ ἐπείθετο, λέγων δυσαποσπάστως ἔχειν τῆς τοῦ τόπου συνηθείας. ἕως οὗ συνέβη ἅμαξαν παρελθοῦσαν αὐτὸν συνθλάσαι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ τοῖς φαύλοις ἐπιχειροῦντες, φθάνουσιν ἀπολλύμενοι πρὶν ἐπὶ τὸ βέλτιον τραπέσθαι.

Μελισσουργ

& alias manus hoc tuum aurum eat, ſcio te tunc me fortunam accuſaturum.

Affabulatio.

Fabula ſignificat, oportere benefactorem cognoſcere, atq; huic gratiam referre.

Viatores.

DVo quidam unà itinerabantur, & cum alter ſecurim reperiſſet, alter, qui nõ inuenit, admonebat ipſum, ne diceret inueni, ſed inuenimus. Sed paulo pòſt cum aggrederentur ipſos, qui ſecurim perdiderant, habens ipſam, perſequentibus illis, ad eum, qui unà itinerabatur, dicebat, perijmus. Hic autẽ ait, perij dic, nõ perijmus. Etenim & tunc, cum ſecurim inueniſti, inueni dixiſti, non inuenimus.

Affabulatio.

Fabula ſignificat, q nõ fuerũt participes felicitatũ, neq; in calamitatibus firmos eſſe amicos.

Ranæ

DVæ ranæ uicinæ ſibi erãt. Paſcebant̃ aũt altera in profundo, & ꝓcul à uia ſtagno, altera in uia parũ aquæ habẽs. Verũ, cũ quę in ſtagno, alterã admoneret, ut ad ſe migraret, ut tutiore cibo frueret̃, illa nõ paruit, dicẽs firmiſſima teneri huiuſce loci cõſuetudine, quouſq; obtigit currũ prætereuntẽ ipſam confringere.

Affabulatio.

Fabula ſignificat, homines quoq; praua aggredientes citius mori, q̃ mutentur in melius.

m Apiarius

Μελιττουργός.

Εἰς μελιττουργεῖον εἰσελθὼν, τοῦ κεκτημένου ἀπόντος, τὸ κηρίον ἀφείλετο. ὁ δὲ, ἐπανελθὼν, ἐπειδὴ τὰς κυψέλας εἶδεν ἐρήμους, εἱστήκει τὸ κατ᾽ αὐτὰς διερευνώμενος. αἱ δὲ μέλισσαι ἀπὸ τῆς νομῆς ἐπανήκουσαι, ὡς κατέλαβον αὐτὸν, τοῖς κέντροις ἔπαιον, καὶ τὰ χείριστα διετίθουν. ὁ δὲ πρὸς αὐτὰς, κάκιστα ζῶα, τὸν μὲν κλέψαντα ὑμῶν τὰ κηρία ἀθῷον ἀφήκατε, ἐμὲ δὲ τὸν ἐπιμελούμενον ὑμῶν πλήττετε;

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω τῶν ἀνθρώπων τινὲς, δι᾽ ἄγνοιαν τοὺς ἐχθροὺς μὴ φυλαττόμενοι, τοὺς φίλους ὡς ἐπιβούλους ἀπωθοῦνται.

Ἀλκυών.

Ἀλκυὼν ὄρνις ἐστὶ φιλέρημος, ἀεὶ τῇ θαλάττῃ διαιτωμένη. ταύτην λέγεται τὰς τῶν ἀνθρώπων θήρας φυλαττομένην, ἐν σκοπέλοις παραθαλαττίοις νεοττοποιεῖσθαι. καὶ δή ποτε τίκτειν μέλλουσα, ἐνεοττοποιήσατο. ἐξελθούσης δέ ποτε αὐτῆς εἰς νομὴν, συνέβη τὴν θάλασσαν ὑπὸ λάβρου κυματωθεῖσαν πνεύματος, ὑπεραρθῆναι τῆς καλιᾶς, καὶ ταύτην ἐπικλύσασαν, τοὺς νεοττοὺς διαφθεῖραι. ἡ δὲ ἐπανελθοῦσα καὶ γνοῦσα τὸ πραχθὲν, εἶπε. δειλαία ἔγωγε, ἥτις τὴν γῆν ὡς ἐπίβουλον φυλαττομένη, ἐπὶ ταύτην κατέφυγον, ἣ μοι πολλῷ γέγονεν ἀπιστοτέρα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων ἔνιοι τοὺς ἐχθροὺς φυλαττόμενοι, λανθάνουσι πολλῷ χαλεπωτέροις τῶν ἐχθρῶν φίλοις ἐμπίπτοντες.

Apiarius.

IN mellarium ingreſſus quidam domino abſente, fauum abſtulit. Hic autem reuerſus, ut alueolos uidit inanes, ſtando quod in his erat, perſcrutabatur. Apes autem è paſtu redeuntes, ut deprehenderunt ipſum, aculeis percutiebant, peſſimeq; tractabant. Hic autem ad eas, o peſſimæ animantes furatum ueſtros fauos illæſum dimiſiſtis, me uero ſatagentem ueſtri percutitis?

Affabulatio.

Fabula ſignificat, ſic hominũ quoſdam ob ignorantiam inimicos nõ cauere, amicos autem ut inſidiatores repellere.

Alcedo.

ALcedo auis eſt ſolitaria, ſemper in mari uitam degens. Hanc dicitur, hominum uenationes cauentẽ, in ſcopulis maritimis nidificare, cæterũ aliquando paritura, nidum fecit. Egreſſa autem ea ad pabulum, euenit mare à uehementi concitatum uento, eleuari ſupra nidũ, atq; hoc ſubmerſo, pullos perdere. Hæc uero reuerſa, re cognita, ait, me miſeram quæ terram ut inſidiatricem cauens, ad hoc confugi, quod mihi longe eſt infidius.

Affabulatio.

Fabula ſignificat, homines etiam quoſdam ab inimicis cauendo, ignaros in multo grauiores inimicis amicos incidere.

Ἁλιεύς.

Ἁλιεὺς ἔν τινι ποταμῷ ἡλίευεν. διατείνας δὲ τὰ δίκτυα, καὶ τὸ ῥεῦμα περιλαβὼν ἑκατέρωθεν, καλωδίῳ προσδήσας λίθον, τὸ ὕδωρ ἔτυπτεν, ὅπως οἱ ἰχθύες φεύγοντες, ἀπαραφυλάκτως τοῖς βρόχοις ἐμπέσωσι. τῶν δὲ περὶ τὸν τόπον οἰκούντων τις θεασάμενος αὐτὸν ποιοῦντα, ἐμέμφετο ὡς τὸν ποταμὸν θολοῦντα καὶ διειδὲς ὕδωρ μὴ συγχωροῦντα πίνειν. καὶ ὃς ἀπεκρίνατο, ἀλλ' εἰ μὴ οὕτως ὁ ποταμὸς ταράττεται, ἐμὲ δεήσει λιμώττοντα ἀποθανεῖν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν πόλεων οἱ δημαγωγοί, τότε μάλιστα ἐργάζονται, ὅταν τὰς πατρίδας εἰς στάσιν περιάγωσιν.

Πίθηκος καὶ δελφίς.

Ἔθους ὄντος τοῖς πλέουσι μελιταῖα κυνίδια καὶ πιθήκους ἐπάγεσθαι πρὸς παραμυθίαν τοῦ πλοῦ πλέων τις εἶχε σὺν ἑαυτῷ καὶ πίθηκον. γενομένων δ' αὐτῶν κατὰ τὸ σούνιον τὸ τῆς ἀττικῆς ἀκρωτήριον, χειμῶνα σφοδρὸν συνέβη γενέσθαι. τῆς δὲ νεὼς περιτραπείσης, καὶ πάντων διακολυμβώντων, ἐνήχετο καὶ ὁ πίθηκος. δελφὶς δέ τις αὐτὸν θεασάμενος, καὶ ἄνθρωπον εἶναι ὑπολαβὼν, ἀπελθὼν ἀνεῖχε διακομίζων ἐπὶ τὴν χέρσον. ὡς δὲ κατὰ τὸν πειραιᾶ ἐγένετο τὸ τῶν ἀθηναίων ἐπίνειον, ἐπυνθάνετο τοῦ πιθήκου, εἰ τὸ γένος ἐστὶν ἀθηναῖος. τοῦ δὲ εἰπόντος, καὶ λαμπρῶν ἐνταῦθα τετυχηκέναι γονέων, ἐπανήρετο εἰ καὶ τὸν πειραιᾶ ἐπίσταται. ὑπολαβὼν δὲ ὁ πίθηκος περὶ ἀνθρώπου αὐτὸν λέγειν, ἔφη, καὶ μάλα φίλον εἶναι αὐτοῦ καὶ

συνήθη

Piſcator.

PIſcator in fluuio quopiam piſcabatur. Extenſis autẽ retibus, & fluxu comprehenſo utrinq; funi alligato lapide, aquã uerberabat, ut piſces fugientes incautè in retia inciderent. Cum quidam uero ex ijs, qui circa locũ habitabant, id facere uideret, increpabat quòd fluuium turbaret, & claram aquam nõ ſineret bibere. Et is reſpondit, ſed niſi ſic fluuius perturbetur, me oportebit eſurientem mori.

Affabulatio.

Fabula ſignificat, ciuitatũ etiam rectores tunc maxime operari, cum patrias in ſeditionem induxerint.

Simius, & delphis.

MOris cum eſſet nauigantibus Meliten ſes catulos & ſimios adducere in ſolamen nauigationis, quidam habebat ſecum & ſimium. Cum autem perueniſſent ad Sunium Atticæ promontoriũ, tempeſtatem uehementem fieri contigit. Naui autem euerſa, & omnibus natantibus, natabat & ſimius. Delphis q̃s ipſum conſpicatus, & hominem eſſe ratus, digreſſus leuabat, ad terram perferens. Vt uero in Piræo fuit Athenienſium nauali, rogauit ſimium, an genere eſſet Athenienſis. Cum autẽ hic diceret & claris hic eſſe parentib. rogauit, an & Piræum noſſet. Ratus autẽ ſimius de homine eum dicere, ait, & ualde amicũ eſſe ei, &

συνήθη. καὶ ὁ δελφὶς ἐπὶ τοσούτῳ ψεύδει ἀπανακτήσας, βαπτίζων αὐτὸν ἀπέκτεινεν.

Επιμύθιον.

Ο μῦθος πρὸς ἄνδρας, οἳ τὴν ἀλήθειαν οὐκ εἰδότες, ἀπατᾷν νομίζουσιν.

Μυῖαι.

ΕΝ τινι ταμείῳ μέλιτος ἐκχυθέντος, μυῖαι προσπτᾶσαι κατήσθιον. ἐμπαγέντων δὲ τῶν ποδῶν αὐτῶν ἀναπτῆναι οὐκ εἶχον. ἀποπνιγόμεναι δ' ἔλεγον, ἄθλιαι ἡμεῖς, ὅτι διὰ βραχεῖαν βρῶσιν ἀπολλύμεθα.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι πολλοῖς ἡ λιχνεία, πολλῶν κακῶν αἰτία γίνεται.

Ερμῆς καὶ ἀγαλματοποιός.

ΕΡμῆς γνῶναι βουλόμενος ἐν τίνι τιμῇ παρ' ἀνθρώποις ἐστὶν, ἧκεν εἰς ἀγαλματοποιοῦ, ἑαυτὸν εἰκάσας ἀνθρώπῳ. καὶ θεασάμενος ἄγαλμα τοῦ διός, ἠρώτα, πόσου τις αὐτὸ πρίασθαι δύναται; τοῦ δὲ εἰπόντος δραχμῆς, γελάσας, πόσου τὸ τῆς ἥρας ἔφη. εἰπόντος δὲ πλείονος, ἰδὼν καὶ τὸ ἑαυτοῦ ἄγαλμα, καὶ νομίσας ὡς ἐπειδὴ ἄγγελός ἐστι θεῶν καὶ κερδῷος, πολὺν αὐτοῦ παρὰ τοῖς ἀνθρώποις εἶναι τὸν λόγον, ἤρετο περὶ αὐτοῦ. ὁ δ' ἀγαλματοποιὸς ἔφη, ἐὰν τούτους ὠνήσῃ, καὶ τοῦτον προσθήκην σοι δίδωμι.

Επιμύθιον.

Ο μῦθος πρὸς ἄνδρα κενόδοξον, οὐδεμιᾷ παρὰ ἄλλοις ὄντα τιμῇ.

Ερμῆς καὶ τειρεσίας.

ΕΡμῆς βουλόμενος τὴν τειρεσίου μαντικὴν εἰ ἀληθής

ἐστι

familiarē. Et delphis tanto mendacio indignatus, submergens ipsum occidit.

Affabulatio.

Fabula in uiros qui ueritatem ignorantes, existimant se decipere.

Muscæ.

IN cella quadā melle effuso, muscę aduolātes comedebāt. Implicitis aūt earū pedib. euolare nō poterāt. Cū uero suffocarent, dicebāt: Miserę nos, quia ob modicū cibum perimus.

Affabulatio.

Fabula significat, multis gulam multorum malorum esse causam.

Mercurius, & statuarius.

MErcurius scire uolens, quāti apud homines esset, iuit in statuarij, transformatus in hominē, & uisa statua Iouis, rogauit, quanti quis ipsam emere posset? Hic autem cum dixisset, drachma, risit: & quanti Iunonis, ait. cū dixisset, pluris, uisa & sua ipsius statua, ac opinatus cum nuncius sit deorū, & lucrosus, maximam de se apud homines haberi rationem, rogauit de se. Statuarius uero ait, si hasce emeris, & hanc additamentum do.

Donum.

Affabulatio.

Fabula in uirum gloriosum, qui nullius apud alios est pretij.

Mercurius, & Tiresias.

MErcuri⁹ uolēs Tiresię uaticiniū an uerū

 esset

ὄψει γνῶναι, κλέψας τὰς αὐτοῦ βοῦς ἐξ ἀγροικίας, ἦκεν ὡς αὐτὸν εἰς ἄστυ ὁμοιωθεὶς ἀνθρώπῳ, καὶ παρ᾽ αὐτοῦ κατήχθη. τῆς δὲ τῶν βοῶν ἀπωλείας ἀγγελθείσης τοῦ τειρεσίᾳ, ἐκεῖνος παραλαβὼν τὸν ἑρμῆν ἐξῆλθεν, οἰωνόν τινα περὶ τοῦ κλέπτου σκεψόμενος. καὶ τούτῳ παραινεῖ φράζειν αὐτοῦ, ὅν τινα ἂν τῶν ὀρνίθων θεάσηται. ὁ δ᾽ ἑρμῆς τὸ μὲν πρῶτον θεασάμενος ἀετὸν ἐξ ἀριστερῶν ἐπὶ τὰ δεξιὰ διιπτάμενον, ἔφρασε. τοῦ δὲ φήσαντος μὴ πρὸς αὐτοὺς εἶναι τοῦτον, ἐκ δευτέρου κορώνην εἶδεν ἐπί τινος δένδρου καθημένην, καὶ ποτὲ μὲν ἄνω βλέπουσαν, ποτὲ δὲ πρὸς τὴν γῆν κατακύπτουσαν, καὶ τοῦ μάντει φράζει. καὶ ὃς ὑποτυχὼν εἶπεν. ἀλλ᾽ αὕτη γε ἡ κορώνη διόμνυται τόν τε οὐρανὸν καὶ τὴν γῆν, ὡς ἐὰν σὺ θέλῃς, τὰς ἐμὰς ἀπολήψομαι βοῦς.

Ἐπιμύθιον.

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα κλέπτην.

Κύνες.

Ἔχων τὶς δύο κύνας, τὸν μὲν ἕτερον θηρεύειν ἐδίδαξε, τὸν δὲ λοιπὸν οἰκοφυλακεῖν. καὶ δὴ εἴ ποτε ὁ θηρευτικὸς ἤγρευέ τι. καὶ ὁ οἰκουρὸς συμμετεῖχεν αὐτοῦ τῆς θοίνης. ἀγανακτοῦντος δὲ τοῦ θηρευτικοῦ κἀκεῖνον ὀνειδίζοντος, εἴγε αὐτὸς μὲν καθ᾽ ἑκάστην μοχθεῖ, ἐκεῖνος δὲ μηδὲν πονῶν τοῖς αὐτοῦ τρέφεται πόνοις, ὑπολαβὼν αὐτὸς εἶπε. μὴ ἐμέ, ἀλλὰ τὸν δεσπότην μέμφου, ὃς οὐ πονεῖν με ἐδίδαξεν, ἀλλὰ πόνους ἀλλοτρίους ἐσθίειν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν νέων οἱ μηδὲν ἐπιστάμενοι

eſſet cognoſcere, furatus ipſius boues ex rure, uenit ad ipſum in urbem, ſimilis factus homini, & ad ipſum diuertit. Boum autẽ amiſſione renũciata Tireſiæ, ille aſſumpto Mercurio exiuit augurium aliquod de fure conſideraturus, & huic iubet dicere ſibi, quamnam auim uiderit. Mercurius autem primum uidiſſe aquilam à ſiniſtris ad dexteram uolantem, dixit: Hic nõ ad ſe id attinere cũ dixiiſſet, ſecũdo cornicẽ ſuper arbore quadam ſedentẽ uidit, & modo ſuperius aſpicientẽ, modo ad terram declinatã, & uati refert. Et is re cognita, ait, ſed hæc cornix iurat & cœlum & terram, ſi tu uelis, meas me recepturum boues.

Affabulatio.

Hoc ſermone uti quiſpiam poterit aduerſus uirum furacem.

Canes.

HAbens quidam duos canes, alterum uenari docuit, alterum domũ ſeruare. Cæterum ſi quando uenaticus caperet aliquid, & domituus particeps unà cum eo erat cœnæ, ægre ferente autem uenatico, & illi obijciente, quòd ipſe quotidie laboraret, ille nihil faciens ſuis nutriretur laboribus, reſpondens ipſe, ait: non me, ſed herum reprehende, qui nõ laborare me docuit, ſed labores alienos comeſſe.

Affabulatio.

Fabula ſignificat adoleſcentes, qui nihil ſci-

μένοι, οὐ μεμπτοί εἰσιν, ὅταν αὐτοὺς οἱ γονεῖς οὕτως ἀγάγωσιν.

Ἀνὴρ καὶ γυνή.

Ἔχων τις γυναῖκα, πρὸς τοὺς κατ' οἶκον ἅπαντας ἀπεχθῶς ἔχουσαν, ἠβουλήθη γνῶναι εἰ καὶ πρὸς τοὺς πατρῴους οἰκέτας οὕτω διάκειται. διὸ δὴ καὶ μετ' εὐλόγου προφάσεως πρὸς τὸν αὐτῆς αὐτὴν ἀπέστελλε πατέρα. μετὰ δ' ὀλίγας ἡμέρας ἐπανελθούσης αὐτῆς, ἐπυνθάνετο πῶς πρὸς τοὺς ἐκεῖ διηγάγετο. τῆς δὲ φαμένης ὡς οἱ βουκόλοι καὶ οἱ ποιμένες με ὑπέβλεπον το, πρὸς αὐτὴν ἔφη. ἀλλ' ὦ γύναι, εἰ τούτοις ἀπεχθάνῃ, οἳ ὄρθρου μὲν τὰς ποίμνας ἐξελαύνουσιν, ὀψὲ δὲ εἰσίασι, τί χρὴ προσδοκᾶν περὶ τούτων, οἷς πᾶσαν συνδιέτριβες τὴν ἡμέραν;

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω πολλάκις ἐκ τῶν μικρῶν τὰ μεγάλα, κἀκ τῶν προδήλων τὰ ἄδηλα γνωρίζεται.

Ἔριφος καὶ λύκος.

Ἔριφος ὑστερήσας τῆς ποίμνης, ὑπὸ λύκου κατεδιώκετο. ἐπιστραφεῖσα δὲ πρὸς αὐτὸν εἶπεν, ὦ λύκε, ἐπεὶ πέπεισμαι ὅτι σὸν βρῶμα γενήσομαι, ἵνα μὴ ἀηδῶς ἀποθάνω, αὔλησον πρῶτον ὅπως ὀρχήσωμαι. τοῦ δὲ λύκου αὐλοῦντος, καὶ τῆς ἐρίφου ὀρχουμένης, οἱ κύνες ἀκούσαντες τὸν λύκον ἐδίωκον. ὁ δὲ ἐπιστραφεὶς τῇ ἐρίφῳ φησί, δικαίως ταῦτά μοι γίνεται. ἔδει γάρ με μάγειρον ὄντα, αὐλητὴν μὴ μιμεῖσθαι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τῶν μὲν πρὸς ἃ πεφύκασιν

unt, haud esse reprehendendos, cum eos parentes sic educauerint.

Maritus, & uxor.

HAbens quidam uxorẽ, quæ domesticis omnibus inimica erat, uoluit scire an etiam erga paternos domesticos ita afficeretur, quapropter cum rationabili prętextu ad suum ipsam misit patrem. Paucis uero pòst diebus ea reuersa, rogauit quomodo aduersus illos habuisset. Hæc uero cum dixisset, bubulci & pastores me suspectabant, ad eam ait: sed ô uxor, si eos odisti, qui mane greges agunt, sero autẽ redeũt, quid sperare oportet in ijs, quibus cum tota conuersaris die?

Affabulatio.

Fabula significat, sic sæpe ex paruis magna, & ex manifestis incerta cognosci.

Hœdus & lupus.

HOedus derelictus à grege, persequente lupo, cõuersus ad eum, dixit: ô lupe, quoniam credo me tuũ cibum futurũ, ne iniucunde moriar, cane tibia primum, ut saltem. Lupo autem canente tibia, atq; hœdo saltante, canes cum audiuissent, lupum persecuti sunt. Hic conuersus hœdo inquit, merito hæc mihi fiunt, oportebat enim me cocus cum sim, tibicinem non agere.

Affabulatio.

Fabula significat, q ea, quib. natura apti sunt negli-

ἀμελοῦντες, τὰ δὲ ἑτέρων ἐπιτηδεύειν πειρώμενοι, δυστυχίαις περιπίπτουσιν.

Καρκῖνος καὶ ἀλώπηξ.

Καρκῖνος ἀπὸ τῆς θαλάσσης ἀναβὰς, ἐπί τινος ἐνέμετο τόπου. ἀλώπηξ δὲ λιμώττουσα ὡς ἐθεάσατο, προσελθοῦσα συνέλαβεν αὐτόν. ὁ δὲ μέλλων καταβιβρώσκεσθαι, ἔφη. ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὃς θαλάττιος ὤν, χερσαῖος ἠβουλήθην γενέσθαι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν ἀνθρώπων οἱ τὰ οἰκεῖα καταλιπόντες ἐπιτηδεύματα, καὶ τοῖς μηδὲν προσήκουσιν ἐπιχειροῦντες, εἰκότως δυστυχοῦσιν.

Κιθαρῳδός.

Κιθαρῳδὸς ἀφυὴς ἐν οἴκῳ κεκονιαμένῳ συνήθως ᾄδων, καὶ ἀντηχούσης αὐτῷ τῆς φωνῆς, ᾠήθη σφόδρα εὔφωνος εἶναι. καὶ δὴ ἐπαρθεὶς ἐπὶ τούτῳ, ἔγνω δεῖν καὶ θεάτρῳ ἑαυτὸν ἐπιδοῦναι. ἀφικόμενος δὲ ἐπιδείξασθαι, καὶ κακῶς ᾄδων πάνυ, λίθοις αὐτὸν ἐξώσαντες ἀπήλασαν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ῥητόρων ἔνιοι ἐν ταῖς σχολαῖς δοκοῦντες εἶναί τινες, ὅταν ἐπὶ τὰς πολιτείας ἀφίκωνται, οὐδενὸς ἄξιοί εἰσιν.

Κλέπται.

Κλέπται εἰς τινα εἰσελθόντες οἰκίαν, οὐδὲν εὗρον, ὅτι μὴ ἀλεκτρυόνα. καὶ τοῦτον λαβόντες ἀπήεσαν. ὁ δὲ μέλλων ὑπ' αὐτῶν θύεσθαι, ἐδεῖτο ὡς ἂν αὐτὸν ἀπολύσωσι, λέγων, χρήσιμος εἶναι τοῖς ἀνθρώποις, νυκτὸς αὐτοὺς ἐπὶ τὰ ἔργα ἐγείρων. οἱ δὲ ἔφα-

negligunt, quę uero aliorum sunt, exercere conantur, in infortunia incidere.

Cancer, & uulpes.

CAncer è mari cũ ascendisset, in loco quodã pascebat. Vulpes esuriens ut uidit, accessit, ac eũ rapuit. Ille deuorãdus ait, sed ego cõdigna patior, q marinus cum sim, terrestris esse uolui. Affabulatio.

Fabula significat homines, etiam qui proprijs derelictis exercitijs, ea quę nihil conueniũt aggrediuntur, merito infortunatos esse.

Citharœdus.

CItharœdus rudis in domo calce incrustata familiariter, ut solebat, canens, & contra resonãte in se uoce, existimabat ualde canorus esse. Verũ elatus super hoc, cogitauit & theatro sese committere oportere. Profectus uero ad se ostendendum, cum male admodum caneret, lapidibus ipsum explosum abegerunt

Affabulatio.

Fabula significat, sic ex rhetoribus quosdam, qui in scholis uidentur esse aliqui, cum ad res publicas se conferunt, nullius pretij esse.

Fures.

FVres in domum quandam ingressi, nihil inuenerunt nisi gallum, atq; hoc capto, abierunt. Hic ab eis occidendus rogabat, ut se dimitterent, dicens, utilem esse hominibus noctu eos ad opera excitando. Hi uero dixerunt

σαν, ἀλλὰ διὰ τοῦτο σε μᾶλλον θύομεν. ἐκεῖνος γὰρ ἐγείρων, κλέπτειν ἡμᾶς οὐκ ἐᾷς.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι ταῦτα μάλιστα τοῖς πονηροῖς φαίνεται, ἃ τοῖς χρηστοῖς ἐστιν εὐεργετήματα.

Κορώνη καὶ κόραξ.

Κορώνη φθονήσασα κόρακι, διὰ τὸ διὰ οἰωνῶν τοῖς ἀνθρώποις μαντεύεσθαι, καὶ διὰ τοῦτο μαρτυρουμένῳ ὡς προλέγοντι τὸ μέλλον, θεασαμένη τινὰς ὁδοιπόρους παριόντας, ἧκεν ἐπί τι δένδρον. καὶ στᾶσα, μεγάλως ἐκραξεν. τῶν δὲ πρὸς τὴν φωνὴν ἐπιστραφέντων, καὶ καταπλαγέντων, ὑποτυχών τις ἔφη. ἀπίωμεν ὦ οὗτοι. κορώνη γάρ ἐστι, ἣ τις κέκραγε, καὶ οἰωνισμὸν οὐκ ἔχει.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ τοῖς κρείττοσιν ἁμιλλώμενοι, πρὸς τὸ τῶν ἴσων μὴ ἐφικέσθαι καὶ γέλωτα ὀφλισκάνουσι.

Κορώνη καὶ κύων.

Κορώνη ἀθηνᾷ θύουσα, κύνα ἐπὶ ἑστίασιν ἐκάλει. ὁ δὲ πρὸς αὐτὴν ἔφη, τί μάτην τὰς θυσίας ἀναλίσκεις; ἡ γὰρ θεὸς οὕτω σε μισεῖ, ὡς καὶ τῶν συντρόφων σοι οἰωνῶν τὴν πίστιν περιελεῖν. καὶ ἡ κορώνη πρὸς αὐτόν, διὰ τοῦτο μᾶλλον αὐτῇ θύω, ἵνα διαλλαγῇ μοι.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι πολλοὶ διὰ κέρδος τοὺς ἐχθροὺς εὐεργετεῖν οὐκ ὀκνοῦσιν.

Κόραξ καὶ ὄφις.

Κόραξ τροφῆς ἀπορῶν ὡς κατεῖδεν ὄφιν ἔν τινι ἐνηλίῳ τόπῳ

ὄφιν

rũt,ſed propter hoc te tanto magis occidimus. Illos enim excitando, furari nos non ſinis.

Affabulatio.

Fabula ſignificat, ea maxime prauis eſſe aduerſa, quæ bonis ſunt beneficia.

Cornix, & coruus.

CORnix coruo inuidens, ꝙ is per auguria hominib. uaticinaretur, ob idꝗ credere tur uti futura prædicens, cõſpicata uiatores quoſdã prætereũtes, iuit ſuper arborẽ quandã, ſtansꝗ ualde crocitauit. Illis uero ad uocẽ conuerſis, & admiratis, re cognita, quidam inquit: abeamus heus uos, cornix enim eſt, quæ crocitauit, & augurium non habet.

Affabulatio.

Fabula ſignificat, eodẽ modo & homines cũ præſtantioribus certantes, præter quàm, quòd non ad ęqua perueniunt, riſum quoꝗ debere.

Cornix, & canis.

CORnix Mineruę ſacrificãs, canẽ inuitauit ad epulas. ille uero ad eã dixit, ꝗd fruſtra ſacrificia abſumis: dea enim adeò te odit, ut ex peculiarib. quoꝗ tibi augurijs fidẽ ſuſtulerit. Cui cornix, ob id magis ei ſacrifico, ut reconcilietur mihi.

Affabulatio.

Fabula ſignificat, pleroſꝗ ob lucrũ non uereri inimicos beneficijs proſequi.

Coruus, & ſerpens.

CORuus cibi indigẽs, ut ſerpentẽ in aprico quodam

ὄφιν κοιμώμενον, ταῦρον καταπτὰς ἥρπασε. τοῦ δὲ, ἐπιστραφέντος καὶ δακόντος αὐτὸν, ἀποθνήσκειν μέλλων εἴρηκε. δείλαιος ἔγωγε, ὃς τοιοῦτον εὗρον ἕρμαιον. δι' οὗ καὶ ἀπόλλυμαι.

Επιμύθιον.

Ο μῦθος πρὸς ἄνδρα, διὰ θησαυρῶν εὕρεσιν περὶ σωτηρίας κινδυνεύσαντα.

Κολοιὸς καὶ περιστεραί.

Κολοιὸς ἔν τινι περιστερεῶνι περιστερὰς ἰδὼν καλῶς τρεφομένας λευκάνας ἑαυτὸν ἦλθεν, ὡς καὶ αὐτὸς τῆς αὐτῆς διαίτης μεταληψόμενος. αἱ δὲ μέχρι μὲν ἡσύχαζεν, οἰόμεναι περιστερὰν αὐτὸν εἶναι, προσίεντο. ἐπεὶ δέ ποτε ἐκλαθόμενος ἐφθέγξατο, τηνικαῦτα τὴν αὐτοῦ γνοῦσαι φύσιν, ἐξήλασαν παίουσαι. καὶ ὅς, ἀποτυχὼν τῆς ἐνταῦθα τροφῆς, ἐπανῆκε πρὸς τοὺς κολοιοὺς πάλιν, κἀκεῖνοι διὰ τὸ χρῶμα αὐτὸν οὐκ ἐπιγνόντες μετ' αὐτῶν διαίτης ἀπεῖρξαν, ὥστε δυοῖν ἐπιθυμήσαντα μηδετέρας τυχεῖν.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι δεῖ καὶ ἡμᾶς τοῖς ἑαυτῶν ἀρκεῖσθαι, λογιζομένους, ὅτι ἡ πλεονεξία πρὸς τῷ μηδὲν ὠφελεῖν, ἀφαιρεῖται καὶ τὰ προσόντα πολλάκις.

Κολοιός.

Κολοιόν τις συλλαβὼν καὶ δήσας αὐτοῦ τὸν πόδα λίνῳ, τῷ ἑαυτοῦ παρέδωκε παιδί. ὁ δὲ, μὴ ὑπομείνας τὴν μετ' ἀνθρώπων δίαιταν, ὡς πρὸς ὀλίγον ἀδείας ἔτυχε, φυγὼν ἧκεν εἰς τὴν ἑαυτοῦ καλίαν. περιειληθέντος δὲ τοῦ δεσμοῦ τοῖς κλάδοις, ἀποπτῆναι μὴ δυνάμενος, ἐπειδὴ ἀποθνήσκειν ἔμελλε, πρὸς

ἑαυτὸν

quodam loco dormientẽ uidit hunc deuolando rapuit. Hic cũ se uertisset, atq; momordisset ipsum, coruus moriturus dixit, me miserũ, qui tale reperi lucrum, quo etiam pereo.

Affabulatio.

Fabula in uirum, qui ob thesaurorũ inuentionem de salute periclitatur.

Monedula, & columbæ.

MOnedula in colũbario quodã colũbis uisis bene nutritis, dealbauit sese, iuitq;, ut & ipsa eodem cibo impertiretur. Hæ uero, donec tacebat, ratæ eam esse columbam, admiserunt. Sed cum aliquando oblita uocem emisisset, tunc eius cognita natura, expulerunt percutiendo, eaq; priuata eo cibo rediјt ad monedulas rursum. Et illæ ob colorem, cũ ipsam nõ nossent, à suo cibo abegerunt, ut duorum appetens, neutro potiretur.

Affabulatio.

Fabula significat, oportere & nos nostris contentos esse, considerantes auaritiã, preterq; q nihil iuuat, auferre sæpe & quæ adsunt bona.

Monedula.

MOnedulã cũ quis cepisset, & pedem alligasset filo, suo tradidit filio. Hęc non ferendo uictum inter homines, ubi parumper libertatẽ nacta est, fugit, in suumq; nidum se cõtulit. Circumuoluto uero ramis uinculo, euolare haud ualẽs, cũ moritura esset, se

n cum

ἑαυτὸν ἔφη, δείλαιος ἔγωγε, ὃς τὴν παρ' ἀνθρώποις μὴ ὑπομένας δουλείαν, ἔλαθον ἐμαυτὸν τῆς ζωῆς στερήσας.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τινὲς ἔσθ' ὅτε μετρίων κινδύνων ἑαυτοὺς βουλόμενοι ῥύσασθαι, εἰς μείζους περιπίπτουσιν.

Ἑρμῆς.

Ζεὺς ἑρμῇ προσέταξε πᾶσι τοῖς τεχνίταις ψεύδους φάρμακον ἐγχέειν. ὁ δὲ τοῦτο τρίψας, καὶ μέτρον ποιήσας, ἴσον ἑκάστῳ ἐνέχεεν. ἐπεὶ δὲ μόνου τοῦ σκυτέως ὑπολειφθέντος, πολὺ κατελείπετο φάρμακον, ὅλην λαβὼν τὴν θυείαν ἐνέχεεν αὐτῷ. κἀκ τούτου συνέβη τοὺς τεχνίτας ἅπαντας ψεύδεσθαι, μάλιστα δὲ πάντων τοὺς σκυτέας.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ψευδολόγους τεχνίτας.

Ζεύς.

Ζεὺς πλάσας τοὺς ἀνθρώπους, τὰς μὲν ἄλλας διαθέσεις αὐτοῖς ἐνέθηκε, μόνην δ' ἐνθεῖναι τὴν αἰσχύνην ἐπελάθετο. διὸ μὴ ἔχων πόθεν αὐτὴν εἰσαγάγῃ, διὰ τοῦ ὄχλου αὐτὴν εἰσελθεῖν ἐκέλευσεν, ἡ δὲ τὸ μὲν πρῶτον ἀντέλεγεν ἀναξιοπαθοῦσα. ἐπεὶ δὲ σφόδρα αὐτῇ ἐνέκειτο, ἔφη. ἀλλ' ἔγωγε ἐπὶ ταύταις εἰσέρχομαι ταῖς ὁμολογίαις, ὡς ἂν ἔρως μὴ εἰσέλθῃ. ἂν δ' εἰσέλθῃ αὐτὴ ἐξελεύσομαι παραυτίκα. ἀπὸ δὴ τούτου συνέβη πάντας τοὺς πόρνους ἀναισχύντους εἶναι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τοὺς ὑπ' ἔρωτος κατεχομένους, ἀναισχύντους εἶναι συμβαίνει.

Ζεὺς

cũ loquebatᷓ,me miserã,quę apud homines nõ ferẽdo seruitutẽ,incautè mea me uita priuaui.

Affabulatio.

Fabula significat,nõnunquam quosdam,dum se à mediocribus student periculis liberare, in maiora incidere.

Mercurius.

IVpiter Mercurio iussit,ut artificib. omnib. mẽdacij medicamentũ misceret. Hic eo trito,& ad mẽsurã facto, æquabiliter singulis miscuit. Cũ uero solo relicto sutore, multũ sup esset medicamẽti,totũ acceptũ mortariũ ei miscuit. Atq; hinc contigit artifices omneis mentiri, maxime uero omnium sutores.

Affabulatio.

Fabula in mendaces artifices.

Iupiter.

IVpiter formatis hominibus,omneis illis affectus indidit, solum indere pudorẽ oblitus est. Quapropter nõ habens, undenã ipsum introduceret,per turbã ingredi eum iussit. Hic uero primum cõtradicebat,quòd indigna ferret. Vehemẽtius uero eo instante,ait: Sed ego sanè his ingredior pactis, si amor nõ ingrediatur. Sin ingrediatur, ipse exibo quã primũ. Ex hoc sanè euenit,omnia scorta inuerecũda esse.

Affabulatio.

Fabula, significat, captos amore inuerecundos esse.

Ζεύς.

Ζεὺς γάμους τελῶν, πάντα τὰ ζῶα εἱστία. μόνης δὲ τῆς χελώνης ὑστερησάσης, διαπορῶν τὴν αἰτίαν τῆς ὑστερήσεως, ἐπυνθάνετο αὐτῆς, τίνος χάριν αὐτὴ ἐπὶ τὸ δεῖπνον οὐ παρεγένετο. τῆς δὲ εἰπούσης, οἶκος φίλος, οἶκος ἄριστος, ἀγανακτήσας κατ᾽ αὐτῆς, κατεδίκασε τὸν οἶκον βαστάζουσαν περιφέρειν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πολλοὶ τῶν ἀνθρώπων αἱροῦνται μᾶλλον λιτῶς παρ᾽ ἑαυτοῖς ζῆν, ἢ παρ᾽ ἄλλοις πολυτελῶς.

Λύκος καὶ πρόβατον.

Λύκος ὑπὸ κυνῶν δηχθεὶς καὶ κακῶς πάσχων, ἐβέβλητο. τροφῆς δὲ ἀπορῶν, θεασάμενος πρόβατον, ἐδεῖτο ποτὸν ἐκ τοῦ παραρρέοντος αὐτῷ ποταμοῦ κομίσαι. εἰ γάρ σύ μοί φησι δώσεις ποτὸν, ἐγὼ τροφὴν ἐμαυτῷ εὑρήσω. τὸ δὲ ὑποτυχὸν, ἔφη, ἀλλ᾽ ἐὰν ἐγὼ ποτὸν ἐπιδῶ σοι, σὺ καὶ τροφῇ μοι χρήσῃ.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρα κακοῦργον, διὰ ὑποκρίσεως ἐνεδρεύοντα.

Λαγωοί.

Λαγωοί ποτε πολεμοῦντες ἀετοῖς, παρεκάλουν εἰς συμμαχίαν ἀλώπεκας. αἱ δὲ ἔφασαν. ἐβοηθήσαμεν ἂν ὑμῖν, εἰ μὴ ᾔδειμεν τίνες ἐστὲ, καὶ τίσι πολεμεῖτε.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς κρείττοσι φιλονεικοῦντες τῆς ἑαυτῶν σωτηρίας καταφρονοῦσι.

Μύρμηξ.

Iupiter.

IVpiter nuptias celebrãs, oĩa animalia accipiebat. Sola uero teſtudine tarde profecta, admiratus cauſam tarditatis, rogauit eam, quamobrẽ ipſa ad cœnã nõ acceſſerit. Cũ hæc dixiſſet, domus chara, domus optima, iratus ipſi, damnauit ut domũ baiulans circumferret.

Affabulatio.

Fabula ſignif. pleroſq; homines eligere, parce potius apud ſe uiuere, quàm apud alios laute.

Lupus, & ouis.

LVpus à canibus morſus, et male affectus, abiectus iacebat. Cibi uero indigẽs, uiſa oue, rogabat ut potũ ex præterfluente flumine ſibi afferret. Si eñ tu mihi, inqt, dederis potũ, ego cibũ mihi ipſi inueniã. Illa, re cognita, ait: ſed ſi ego potum do tibi, tu & cibo me uteris.

Affabulatio.

Fabula in uirum maleficum, per ſimulationẽ inſidiantem.

Lepores.

LEpores olim belligerãtes cum aquilis, inuocarunt in auxilium uulpes. Hæ autem dixerũt, uobis auxiliaremur, niſi ſciremus qui uos eſtis, & cum quibus bellamini.

Affabulatio.

Fabula ſignificat, eos, qui cũ præſtantioribus certant, ſuam ſalutem contemnere.

Formica.

Μύρμηξ ὁ νῦν, τὸ παλαιὸν ἄνθρωπος ἦν. καὶ τῇ γεωργίᾳ διηνεκῶς προσέχων, οὐ τοῖς ἰδίοις ἠρκεῖτο πόνοις, ἀλλὰ καὶ τοὺς τῶν γειτόνων καρποὺς ὑφῃρεῖτο. ὁ δὲ Ζεὺς ἀγανακτήσας ἐπὶ τῇ τούτου πλεονεξίᾳ, μετεμόρφωσεν αὐτὸν εἰς τοῦτο τὸ ζῶον, ὃ μύρμηξ καλεῖται. ὁ δὲ τὴν μορφὴν ἀλλάξας, τὴν διάθεσιν οὐ μετέβαλε. μέχρι γὰρ τοῦ νῦν τὰς ἀρούρας περιιὼν, τοὺς τῶν ἑτέρων πόνους συλλέγει, καὶ ἑαυτῷ ἀποθησαυρίζει.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οἱ φύσει πονηροὶ κἂν τὰ μάλιστα τὸ εἶδος μεταβληθῶσι, τὸν τρόπον οὐ μεταβάλλονται.

Νυκτερὶς καὶ γαλῆ.

Νυκτερὶς ἐπὶ γῆς πεσοῦσα, ὑπὸ γαλῆς συνελήφθη. καὶ μέλλουσα ἀναιρεῖσθαι, περὶ σωτηρίας ἐδεῖτο. τῆς δὲ φαμένης, μὴ δύνασθαι αὐτὴν ἀπολῦσαι. φύσει γὰρ πᾶσι τοῖς πτηνοῖς πολεμεῖν, αὐτὴ ἔλεγεν οὐκ ὄρνις ἀλλὰ μῦς εἶναι, καὶ οὕτως ἀφείθη. ὕστερον δὲ πάλιν πεσοῦσα, καὶ ὑφ᾽ ἑτέρας συλληφθεῖσα γαλῆς, μὴ βρωθῆναι ἐδεῖτο. τῆς δὲ εἰπούσης ἅπασιν ἐχθραίνειν μυσὶν αὐτὴ μὴ μῦς, ἀλλὰ νυκτερὶς ἔλεγεν εἶναι, καὶ πάλιν ἀπελύθη. καὶ οὕτω συνέβη δὶς αὐτὴν ἀλλαξαμένην τὸ ὄνομα, σωτηρίας τυχεῖν.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι δεῖ καὶ ἡμᾶς μὴ τοῖς αὐτοῖς ἀεὶ ἐπιμένειν, λογιζομένους, ὡς οἱ τοῖς καιροῖς συμμετασχηματιζόμενοι, πολλάκις τοὺς κινδύνους ἐκφεύγουσιν.

Οδοιπόροι.

QVæ nunc formica, homo olim fuit. Hic agriculturæ aſſidue incumbens nõ erat ꝓprijs laboribus cõtentus, ſed & uicinorum fructus ſurripiebat. Iupiter aũt indignat9 huius auaritia, tranſmutauit eum in hoc animal, quæ formica appellatur. Verũ cũ mutaſſet formam, non & affectum mutauit. Nam uſque nunc arua circumeundo, aliorum labores ſurripit, & ſibi recondit.

Affabulatio.

Fabula ſignificat, natura prauos, etſi maxime ſpeciem tranſmutarint, mores non mutare.

Veſpertilio, & muſtela.

VEſpertilio in terram cum cecidiſſet, à muſtela capta eſt. Et cũ occidenda foret, pro ſalute rogabat. Hac uero dicente, non poſſe ipſam dimitere, quod natura uolucribus omnib. inimica foret, ait: nõ auem, ſed murẽ eſſe, & ſic dimiſſa eſt. Poſtremo aũt cum iterũ cecidiſſet, & ab alia capta muſtela, ne uoraretur orabat. Hac aũt dicente, cunctis inimicam eſſe muribus, hæc non mus, ſed ueſpertilio eſſe dicebat, & rurſus dimiſſa eſt. Atq; ita euenit bis mutato nomine, ſalutem conſecutam fuiſſe.

Affabulatio.

Fabula ſignificat, neq; nos in iiſdẽ ſemper eſſe oportere, cõſiderantes eos, qui ad tempus mutantur, plerunq; pericula effugere.

Viatores.

Ὁδοιπόροι κατά τινα αἰγιαλὸν ὁδεύοντες, ἦλθον ἐπί τινα σκοπιάν. κἀκεῖθεν θεασάμενοι φρύγανα πόῤῥωθεν ἐπιπλέοντα, ναῦν εἶναι μεγάλην ᾠήθησαν. διὸ δὴ προσέμενον ὡς μελλούσης αὐτῆς προσορμίζεσθαι. ἐπεὶ δὲ ὑπὸ ἀνέμου φερόμενα τὰ φρύγανα, ἐγγυτέρω ἐγένετο, οὐκέτι ναῦν, ἀλλὰ πλοῖον ἐδόκουν βλέπειν. ἐξενεχθέντα δ᾽ αὐτὰ φρύγανα ὄντα ἰδόντες, πρὸς ἀλλήλους ἔφασαν, ὡς ἄρα μάτην ἡμεῖς τὸ μηδὲν ὂν προσεδεχόμεθα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τῶν ἀνθρώπων ἔνιοι ἐξ ἀπροόπτου δοκοῦντες φοβεροὶ εἶναι, ὅταν εἰς πεῖραν ἔλθωσιν, οὐδενὸς εὑρίσκονται ἄξιοι.

Ὄνος ἄγριος.

Ὄνος ἄγριος ὄνον ἰδὼν ἥμερον ἔν τινι εὐηλίῳ τόπῳ, προσελθὼν αὐτὸν ἐμακάριζεν, ἐπί τε τῇ εὐεξίᾳ τοῦ σώματος, καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. ὕστερον δὲ ἰδὼν αὐτὸν ἀχθοφοροῦντα, καὶ τὸν ὀνηλάτην ὄπισθεν ἑπόμενον, καὶ ῥοπάλοις αὐτὸν παίοντα, ἔφη, ἀλλ᾽ ἔγωγε οὐκέτι σε εὐδαιμονίζω, ὁρῶ γάρ, ὡς οὐκ ἄνευ κακῶν μεγάλων τὴν εὐδαιμονίαν ἔχεις.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐκ ἔστι ζηλωτὰ τὰ μετὰ κινδύνων καὶ ταλαιπωριῶν κέρδη.

Ὄνοι.

Ὄνοι ποτὲ ἐπὶ τῷ συνεχῶς ἀχθοφορεῖν καὶ ταλαιπωρεῖν, πρέσβεις ἔπεμψαν πρὸς τὸν Δία, λύσιν τῶν πόνων αἰτούμενοι. ὁ δ᾽ αὐτοῖς ἐπιδεῖξαι βουλόμενος, ὅτι τοῦτο ἀδύνατόν ἐστιν, ἔφη, τότε αὐτοὺς

ἀπαλ-

VIatores secundũ littus quoddã iter faciẽtes, uenerũt in speculã quãdã, & illic cõspicati sarmẽta procul natantia, nauim esse magnam existimarũt, quamobrẽ expectarũt, tanq̃ appulsura ea esset. Cũ uero à uento lata sarmẽta propius forẽt, nõ nauim amplius, sed scaphã uidere uidebant. Aduectis autẽ illis, cũ sarmenta esse uidissent, inter se dixerunt, ut nos igitur frustra, quod nihil est, exspectabamus?

Affabulatio.

Fabula significat, nonnullos homines, qui ex improuiso terribiles esse uidentur, cum periculum feceris, nullius esse precij inueniri.

Asinus syluestris.

ASinus syluestris asino uiso domestico in loco quodã aprico, ꝓfect9 ad ipsum, beatũ, dicebat & corporis habitudine, & cibi ꝑceptione. Deinde uero cũ uidisset eũ ferentẽ onera, & agasonẽ retrò sequentẽ, & baculis ipsum ꝑcutientẽ, ait, ast ego nõ amplius beatũ te existimabo. Video eñ nõ sine magnis malis habere te felicitatẽ.

Affabulatio.

Fabula significat, non esse æmulanda lucra, in quibus insunt pericula, & miseriæ.

Asini.

ASini olim propterea quòd assidue onera ferrent, & fatigarentur, legatos miserunt ad Iouẽ, solutionẽ laborũ petẽtes. Hic aũt ostẽdere ipsis uolens, id nõ posse fieri, ait. Tũc eos

ἀπαλλαγήσεσθαι τῆς κακοπαθείας, ὅταν ὀργοῦντες ποιήσωσι ποταμόν. Κἀκεῖνοι αὐτὸν ἀληθεύειν ὑπολαβόντων, ἀπὸ ἐκείνου καὶ μέχρι τοῦ νῦν ἔνθα οὖρον ἑτέρων ἴδωσιν ὄνων, ἐν ταὐτῷ καὶ αὐτοὶ περιϊστάμενοι οὐροῦσιν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἑκάστῳ τὸ πεπρωμένον ἀνθρώπων τόπον ἐστίν.

Ὄνος καὶ ἀλώπηξ.

Ὄνος ἐνδυσάμενος λεοντῆν, περιήει, τἄλλα τῶν ζώων ἐκφοβῶν. Καὶ δὴ θεασάμενος ἀλώπεκα, ἐπειρᾶτο καὶ ταύτην δεδίττεσθαι. Ἡ δὲ, ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκουῖα, πρὸς αὐτὸν ἔφη. Ἀλλ' εὖ ἴσθι, ὡς καὶ ἐγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένου ἤκουσα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀπαιδεύτων, τοῖς ἔξω δοκοῦντές τινες εἶναι, ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.

Ὄνος καὶ βάτραχοι.

Ὄνος ξύλα βαστάζων, διέβαινέ τινα λίμνην. Ὀλισθήσας δὲ, ὡς κατέπεσεν, ἐξαναστῆναι μὴ δυνάμενος, ὠδύρετό τε καὶ ἔστενεν. Οἱ δὲ ἐν τῇ λίμνῃ βάτραχοι τῶν στεναγμῶν τούτου ἀκούσαντες, ὦ οὗτος, ἔφασαν, καὶ τί ἂν ἐποίησας, εἰ τοσοῦτον ἐνταῦθα χρόνον διέτριβες, ὅσον ἡμεῖς, ὅτε πρὸς ὀλίγον πεσὼν, οὕτως ὀδύρῃ.

Ἐπιμύθιον.

Τούτῳ τῷ λόγῳ χρήσαιτ' ἄν τις πρὸς ἄνδρα ῥάθυμον, ἐπ' ἐλαχίστοις πόνοις δυσφοροῦντα, αὐτὸς τοὺς πλείους ῥᾳδίως ὑφιστάμενος.

ὄνος

liberatũ iri laboribus, cum mingendo fluuiũ fecerint. Ac illi eũ uerũ dicere existimantes, ex illo & nunc usq;, ubi aliorum urinam uiderint asinorum, illic & ipsi circunstando mingunt.

Affabulatio.

Fabula significat, unicuiq; quod fatale est, incurabile esse.

Asinus, & uulpes.

ASinus indutus pelle leonis, uagabat̃ reliqua bruta perterrendo. Cæterum uisa uulpe, tentauit & hanc perterrefacere. Hæc autem (casu enim ipsius uocem audiuerat) ad ipsum ait: sed bene scias, quod & ego te timuissem, nisi rudentem audiuissem.

Affabulatio.

Fabula significat, nõnullos indoctos, q̃ ijs, qui extra sunt, aliqui esse uidentur, ex sua linguacitate redargui.

Asinus & ranæ.

ASinus ligna ferẽs pertransibat paludem quandam. Lapsus autem, ut decidit, nec surgere posset, lamentabatur, ac suspirabat. Ranæ autem quę erãt in palude auditis suspirijs, heus tu, dixerunt, & quid faceres, si tanto hic tempore, quanto nos, fuisses, cum quia ad breue tempus cecidisti, sic lamenteris.

Affabulatio.

Hoc sermone uti quispiam poterit in uirum segnem, qui ob minimos quosq; labores tristatur, cum ipse maioribus facile resistat.

Asinus

Ὄνος καὶ κόραξ.

Ὄνος ἡλκωμένος τὸ νῶτον, ἔν τινι λειμῶνι ἐνέμετο. κόρακος δὲ ἐπικαθίσαντος αὐτῷ, καὶ τὸ ἕλκος ξαίνοντος, ὁ ὄνος ὠγκᾶτο καὶ ἥλατο. τοῦ δὲ ὀνηλάτου πόῤῥωθεν ἑστῶτος καὶ γελῶντος, λύκος παριὼν αὐτὸν εἶδε, καὶ ἔφη. ἄθλιοι ἡμεῖς, οἳ κἂν μόνον ὀφθῶμεν αὐτῷ διωκόμεθα, τούτῳ δὲ καὶ προσεγγελῶσιν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ κακοῦργοι τῶν ἀνθρώπων, καὶ μόνον φανέντες δῆλοί εἰσιν.

Ὄνος καὶ ἀλώπηξ.

Ὄνος καὶ ἀλώπηξ κοινωνίαν συνθέμενοι πρὸς ἀλλήλους, ἐξῆλθον εἰς ἄγραν. λέοντος δ' αὐτοῖς περιτυχόντος, ἡ ἀλώπηξ τὸν ἐπηρτημένον ὁρῶσα κίνδυνον, προσελθοῦσα τῷ λέοντι, παραδώσειν αὐτῷ τὸν ὄνον ὑπέσχετο, ἐὰν αὐτῇ τὸ ἀκίνδυνον ἐπαγγέλληται. τοῦ δὲ ἀπολύσειν αὐτὴν φήσαντος, ἐκείνη παραγαγοῦσα τὸν ὄνον, εἴς τινα πάγιν ἐμπεσεῖν παρεσκεύασε. καὶ ὁ λέων ὁρῶν ἐκεῖνον φυγεῖν μὴ δυνάμενον, πρώτην τὴν ἀλώπεκα συνέσχεν, εἶθ' οὕτως ἐπὶ τὸν ὄνον ἐτράπη.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τοῖς κοινωνοῖς ἐπιβουλεύοντες λανθάνουσι πολλάκις καὶ αὐτοὺς προσαπολοῦντες.

Ὄρνις καὶ χελιδών.

Ὄρνις ὄφεως ὠὰ εὑροῦσα, ἐπιμελῶς ἐκθερμάνασα ἐξεκόλαψε. χελιδὼν δὲ θεασαμένη αὐτὴν, ἔφη. ὦ ματαία, τί ταῦτα τρέφεις; ἅπερ αὐξηθέντα, ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν ἄρξεται.

Ἐπιμύθιον.

Ὁ μῦθος

Asinus, & coruus.

ASinus ulcerato dorso in prato quodã pascebatur. Coruo aũt insidente sibi, & ulcus percutiẽte, asinus rudebat ac saltabat. Sed agasone procul stante, ac ridente, lupus prę teriens, ipsum uidit, & dixit, miseri nos, quos si tantum uiderit, persequitur, huic aũt & arrident.

Affabulatio.

Fabula significat, maleficos homines, si tantũ appareant, dignosci.

Asinus, & uulpes.

ASinus & uulpes inita inter se societate, exiuerunt ad uenationẽ. Leo uero cũ occurrisset ipsis, uulpes imminẽs periculũ uidẽs, profecta ad leonẽ, tradituram ei asinũ pollicita est, si sibi impunitatẽ promiserit. Qui cũ dimissurum eam dixisset, illa adducto asino in casses quosdã ut incideret, fecit. Sed leo uidens illum fugere minime posse, primã uulpem comprehendit, deinde sic ad asinum uersus est.

Affabulatio.

Fabula significat, eos qui socijs insidiantur, sæpe & seipsos nescios perdere,

Gallina, & hirundo.

GAllina serpentis ouis inuentis diligenter calefacta excudit. Hirũdo aũt cũ eam uidisset. ait, ô demẽs, q̃d hęc nutris? quę cũ excreuerint à te prima iniuriã auspicabuntur.

Affabulatio.

Fabula

Ὁ μῦθος δηλοῖ, ὅτι ἀπιθάσσευτός ἐστιν ἡ πονηρία, κἂν τὰ μέγιστα εὐεργετῆται.

Κάμηλος.

Ὅτε πρῶτον κάμηλος ὤφθη, οἱ ἄνθρωποι φοβηθέντες, καὶ τὸ μέγεθος καταπλαγέντες, ἔφευγον. ὡς δὲ χρόνου προϊόντος, συνεῖδον αὐτῆς τὸ πρᾶον, ἐθάρρησαν μέχρι τοῦ προσελθεῖν. αἰσθόμενοι δὲ κατὰ μικρὸν, τὸ ζῶον ὡς χολὴν οὐκ ἔχει, εἰς τοσοῦτον καταφρονήσεως ἦλθον, ὥς τε καὶ χαλινοὺς αὐτῇ περιθέντες, παισὶν ἐλαύνειν δεδώκασιν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τὰ φοβερὰ τῶν πραγμάτων, ἡ συνήθεια εὐκαταφρόνητα ποιεῖ.

Ὄφις.

Ὄφις ὑπὸ πολλῶν ἀνθρώπων πατούμενος, περὶ τούτου ἐνετύγχανεν, ὁ δὲ Ζεὺς πρὸς αὐτὸν εἶπεν, ἀλλ' εἰ τὸν πρότερον πατήσαντα ἔπληξας, οὐκ ἂν ὁ δεύτερος ἐπεχείρησε τοῦτο ποιῆσαι.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τοῖς πρότερον ἐπιβαίνουσιν ἀνθιστάμενοι, τοῖς ἄλλοις φοβεροὶ γίνονται.

Περιστερά.

Περιστερὰ δίψει συνεχομένη, ὡς ἐθεάσατο ἔν τινι τόπῳ κρατῆρα ὕδατος γεγραμμένον, ἐνόμισεν ἀληθινὸν εἶναι. διὸ καὶ πολλῷ περὶ ῥοίζῳ ἐνεχθεῖσα, ἔλαθεν ἑαυτὴν περὶ πίνακι ἐμπεσοῦσα, ὡς καὶ τῶν πτερῶν αὐτῆς περικλασθέντων καταπεσεῖν ἐπὶ γῆν, καὶ ὑπό τινος τῶν παρατυχόντων ἁλῶναι.

Ἐπιμύθιον.

Ὁ μῦθος

Fabula ſignificat, implacabilẽ eſſe prauitatẽ, licet afficiatur maximis beneficijs.

Camelus.

CVm primum uiſa eſt camelus, homines perterriti, & magnitudinem admirati fugiebãt. Vbi uero procedente tempore cognouerunt ipſius manſuetudinem, confiſi ſunt eo uſqꝫ, ut ad eam accrderent. At intellecto paulo pòſt beluę non ineſſe bilem, eò contemptus iere ut & frena ei imponerent, & pueris agendam traderent.

Affabulatio.

Fabula ſignificat terriblies res, conſuetudine contemptibiles fieri.

Serpens.

SErpẽs à multis hominibus peſſundatus Iouem poſtulauit. Iupiter aũt ad eũ dixit, ſed ſi qui prior cõculcauit, pupigiſſes, nequaqꝫ id facere ſecundus aggreſſus fuiſſet.

Affabulatio.

Fabula ſignificat, eos qui prius inuadentibus reſiſtunt, alijs formidoloſos fieri.

Columba.

COlumba ſiti correpta, ut uidit quodam in loco poculũ aquæ depictũ, uerum rata atque multo elata impetu, inſcia in tabulã offendit, ut & pennis ipſius perfractis in terram decideret, atqꝫ à quodam occurrentium caperetur.

Affabulatio.

Fabula

Ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀνθρώπων διὰ σφοδρᾶς προθυμίας, ἀπερισκέπτως πράγμασιν ἐγχειροῦντες, ἐμβάλλουσιν ἑαυτοὺς εἰς ὄλεθρον.

Περιστερὰ καὶ κορώνη.

Περιστερὰ ἔν τινι περιστερεῶνι τρεφομένη, ἐπὶ πολυτεκνίᾳ ἐφρυάττετο. κορώνη δὲ αὐτῆς ἀκούσασα ἔφη, ἀλλ' ὦ αὕτη, πέπαυσο ἐπὶ τούτῳ σεμνυνομένη, ὅσῳ γὰρ ἂν πλείονα τίκτῃς, τοσούτῳ καὶ πλείους λύπας συνάγεις. Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ τῶν οἰκετῶν δυστυχέστατοί εἰσιν ὅσοι ἐν τῇ δουλείᾳ πολλὰ τέκνα ποιοῦσιν.

Πλούσιος.

Πλούσιος δύο θυγατέρας ἔχων, τῆς μιᾶς ἀποθανούσης, θρηνούσας ἐμισθώσατο. τῆς δὲ ἑτέρας παιδὸς λεγούσης, ὡς ἄθλιαι ἡμεῖς, αἵγε αὐταὶ ὧν ἐστι τὸ πένθος θρηνεῖν οὐκ ἴσμεν, αἱ δὲ μὴ προσήκουσαι οὕτω σφοδρῶς κόπτονται. ἡ μήτηρ ἔφη, μὴ θαύμαζε τέκνον, εἰ αὗται οὕτω θρηνοῦσιν, ἐπὶ γὰρ ἀργυρίῳ τοῦτο ποιοῦσιν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἔνιοι τῶν ἀνθρώπων διὰ φιλαργυρίαν οὐκ ὀκνοῦσιν ἀλλοτρίας συμφορὰς ἐργολαβεῖν.

Ποιμήν.

Ποιμὴν ἐλάσας εἰς τινα δρυμῶνα τὰ πρόβατα ὑποστρώσας ὑπὸ δρυῒ τὸ ἱμάτιον, καὶ ἀναβὰς τὸν καρπὸν κατέσειε. τὰ δὲ πρόβατα ἐσθίοντα τοὺς βαλάνους ἔλαθον καὶ τὰ ἱμάτια συγκαταφαγόντα. ὁ δὲ ποιμὴν καταβὰς, ὡς εἶδε τὸ γεγονός, ὦ κάκιστα ἔφη ζῶα. ὑμεῖς τοῖς λοιποῖς ἔρια εἰς ἐσθῆτας παρέχετε, ἐμοῦ δὲ τρέφοντος ὑμᾶς, καὶ τὸ ἱμάτιον ἀφείλεσθε.

Ἐπιμύ

Fabula significat, nõnullos homines ob uehe mentes alacritates incõsulto res aggredientes inijcere sese in perniciem.

Columba, & cornix.

COlũba in colũbario quodã nutrita, fœcũ ditate superbiebat. Cornix uero ea audita, ait: sed heus tu desine hac re gloriari, nã quo plures paris, eo plus mœroris accumulas.

Affabulatio.

Fabula significat, ex famulis quoq; eos esse infelicissimos, q in seruitute multos filios faciũt.

Diues.

DIues duas habẽs filias, altera mortua, prę ficas cõdixit. Cũ uero altera filia dixisset, ut nos miseræ, ipsæ, ad quas pertinet luct9, lamẽtari nescimus, hæ uero nõ necessariæ sic ue menter plangũt. Mater ait, ne mirare filia, si hę ita lamentant̃, nam numerorũ gratia id agũt.

Affabulatio.

Fabula signif. nõnullos homines ob auaritiã nõ uereri alienis calamitatibus quæstũ facere.

Pastor.

PAstor actis in quercetũ quoddam ouibus, strata sub quercu ueste, ascendit, & fructũ decutiebat. Oues uero inter edendũ glandes, nesciæ & uestes unà deuorarũt. At cum pastor descẽdisset, ut ꝙ erat actũ uidit, ô pessima, ait, animalia, uos cęteris uellera ac uestes prębetis à me uero, qui uos nutrio, & uestem surripitis.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι καὶ πολλοὶ τῶν ἀνθρώπων διὰ ἄνοιαν, τοὺς μηδὲν προσήκοντας ἐπιγραφομένους, παρὰ τῶν οἰκείων φαῦλα ἐργάζονται.

Ἁλιεὺς καὶ σμαρίς.

Ἁλιεὺς τὸ δίκτυον χαλάσας ἐν τῇ θαλάσσῃ, ἀνήνεγκε σμαρίδα. σμικρὰ δὲ οὖσα, ἱκέτευεν αὐτὸν νῦν μὴ λαβεῖν αὐτὴν, ἀλλ᾽ ἐᾶσαι διὰ τὸ σμικρὰν τυγχάνειν. ἀλλ᾽ ὅταν αὐξηθῶ καὶ μεγάλη φησὶ γένωμαι, συλλαβεῖν με δυνήσῃ, ἐπεὶ καὶ εἰς μείζονά σοι ὠφέλειαν ἔσομαι. καὶ ὁ ἁλιεὺς εἶπεν. ἀλλ᾽ ἔγωγε ἄνους ἂν εἴην, εἰ τὸ ἐν χερσὶ παρὸν κέρδος κἂν σμικρὸν ᾖ, τὸ προσδοκώμενον κἂν μέγα ὑπάρχῃ ἐλπίζειν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι ἀλόγιστος ἂν εἴη, ὁ διὰ ἐλπίδα μείζονος, τὰ ἐν χερσὶν ἀφεὶς σμικρὰ ὄντα.

Ἵππος καὶ ὄνος.

Ἄνθρωπός τις ἔχων ἵππον καὶ ὄνον. ὁδευόντων δὲ ἐν τῇ ὁδῷ, εἶπεν ὁ ὄνος τῷ ἵππῳ. ἆρον ἐκ τοῦ ἐμοῦ βάρους, εἰ θέλεις εἶναι με σῶον. ὁ δὲ οὐκ ἐπείσθη. ὁ δὲ ὄνος πεσὼν ἐκ τοῦ κόπου ἐτελεύτησεν. τοῦ δὲ δεσπότου πάντα ἐπιθέντος αὐτῷ καὶ αὐτὴν τὴν ὄνου δορὰν θρηνῶν ὁ ἵππος ἐβόα. οἴμοι τῷ παναθλίῳ, τί μοι συνέβη τῷ ταλαιπώρῳ; μὴ θελήσας γὰρ μικρὸν βάρος λαβεῖν, ἰδοὺ ἅπαντα βαστάζω, καὶ τὸ δέρμα.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι τοῖς μικροῖς οἱ μεγάλοι συγκοινωνοῦντες, ἀμφότεροι σωθήσονται ἐν βίῳ.

Ἄνθρωπος καὶ σάτυρος.

ἄνθρω-

Affabulatio.

Fabula significat, plerosq; homines ob dementiam eos, qui nihil ad se attinent, beneficio afficere, in domesticos mala operari.

Piscator & cerrus.

PIscator demisso reti in mare retulit cerrũ, q̃ paruus cũ esset, supplicabat ipsum ne tũc se caperet, sed dimitteret, quòd paruus foret. At cũ creuero, & magnus, inquit, euasero, me capere poteris, quoniam & maiori tibi ero utilitati. Tum piscator ait, sed ego demens fuerim, si quod in manibus est, dimisso lucro, licet sit paruum, expectando magnum sperem.

Affabulatio.

Fabula signif. inconsideratũ esse, q̃ spe maioris rei, quę inter manus est, amittat, quia parua fuerit.

Equus, & asinus.

HOmo q̃dã habebat equũ, & asinũ, cũ aũt iter facerẽt in uia, ait asinus equo: tolle à me oneris partẽ, si uis me esse saluũ. Illo nõ persuaso, asinus cecidit, atq; è labore mortuus est. Ab hero aũt omnib. impositis ei, & ipsa asini pelle, cõquerẽs equ9, clamabat: heu mihi miserrimo, quid mihi obtigit afflicto? quia eñ parũ oneris nolui accipere, ecce omnia gesto, & pellem.

Affabulatio.

Fabula significat, si magni cum paruis iungantur, utrosq; seruari in uita.

Homo, & satyrus.

Ἄνθρωπός τις πρὸς σάτυρον φιλίαν ποιησάμενος, συνδιαιτᾶτο αὐτῷ. χειμῶνος δὲ καὶ ψύχους γινομένου, ὁ ἄνθρωπος τὰς χεῖρας αὐτοῦ προσφέρων τῷ στόματι ἀπέπνει. τοῦ δὲ σατύρου ἐπερωτήσαντος, διὰ τὴν αἰτίαν τοῦτο πράττει, ἔφη, τὰς χεῖρας μου θερμαίνω ἐκ τοῦ κρύους. μετὰ μικρὸν δὲ ἐδέσματος θερμοῦ προσενεχθέντος, ὁ ἄνθρωπος προσφέρων τῷ στόματι ἐφύσα αὐτό. πυνθανομένου δὲ πάλιν διὰ τὴν αἰτίαν τοῦτο πράττει, ἔφη, τὸ ἔδεσμα καταψύχω. ὑπολαβὼν δὲ ὁ σάτυρος, ἀλλ᾽ ἔγωγε, ἔφη, ἀπὸ τοῦ νῦν ἀποτάσσομαί σου τῆς φιλίας, ὅτι ἐκ τοῦ αὐτοῦ στόματος τὸ θερμὸν καὶ τὸ ψυχρὸν ἐξάγεις.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεῖ φεύγειν ἡμᾶς τὰς φιλίας, ὧν ἀμφίβολός ἐστιν ἡ διάθεσις.

Ἀλώπηξ καὶ δρυοτόμος.

Ἀλώπηξ κυνηγοὺς φεύγουσα, καὶ ἐν ἐρημίᾳ πολὺν δρόμον ἀνύσασα, ἄνδρα δρυοτόμον εὑρίσκει ἐν ταύτῃ, ὃν καθικέτευε τοῦ κρύψαι αὐτήν. τοῦ δὲ ὑποδείξαντος αὐτῇ τὴν ἑαυτοῦ καλύβην, εἰσελθοῦσα ἐκρύπτετο εἰς τὰς γωνίας. τῶν δὲ κυνηγετῶν ἐλθόντων καὶ ἐρωτώντων τὸν ἄνδρα, οὗτος τῇ μὲν φωνῇ ἠρνεῖτο μηδὲν εἰδέναι. τῇ δὲ χειρὶ αὐτοῦ τὸν τόπον ὑπεδείκνυ. οἱ δὲ μὴ προσχόντες, ἀπῆλθον παραχρῆμα. ὡς οὖν εἶδεν αὐτοὺς ἡ ἀλώπηξ παρελθόντας, ἐξῆλθεν οὐ προσφωνοῦσα. μεμφομένου δὲ αὐτὴν ἐκείνου, ὡς σωθεῖσα μὲν διὰ αὐτοῦ, χάριτας δὲ αὐτῷ οὐχ ὁμολογοῦσαν, ἡ ἀλώπηξ ἐπιστραφεῖσα, ἔφη. ὦ οὗτος, ἀλλ᾽ ἔγωγε ᾔδειν ἄν σοι χάριτας, εἰ τοῖς λόγοις ὅμοια καὶ τὰ ἔργα τῆς χειρὸς, καὶ τοὺς τρόπους

ἔχεις

HOmo quidã cum ſatyro inita ſocietate, unà cum eo comedebat. Hyems uero, & frigus cũ foret, homo manus ſuas admotas ori afflabat. Rogante autem ſatyro, quam ob cauſam hoc faceret, ait, manus meas calfacio propter frigus. Sed paulo pòſt edulio calido allato, homo admotum ori inſufflabat ipſum. Conſulente rurſus, quare id faceret, ait, ferculũ frigefacio. Suſcepto ſermone ſatyrus, ſed ego, ait, ex nunc renuncio tuam amicitiam: quia ex eodem ore & calidum emittis & frigidum.

Affabulatio.

Fabula ſignificat, fugere nos amicitias oportere, quarum anceps eſt affectio.

Vulpes, & lignator.

VVlpes uenatores fugiens, & in deſerto multa decurſa uia, uirum lignatorem in eo inuenit, cui ſupplicabat, ut ſe abſconderet, à quo ei oſtenſo ſuo tugurio, ingreſſa delitiuit in angulis. At uenatoribus profectis, & uirum rogantibus, hic uoce quidem negabat ſcire quicquam, ſed manu ibi locum oſtendebat. Hi uero cum id non egiſſent, ſtatim abiere. Vt igitur uidit eos uulpes prӕterijſſe, exiuit nihil allocuta: eo ipſa accuſante, quod ſeruata à ſe, gratias ſibi non ageret, uulpes conuerſa ait, heus tu, ego uero egiſſem tibi gratias, ſi uerbis ſimiles & manuum geſtus, & mores

ἔχουσι.

Επιμύθιον.

Ο μῦθος πρὸς τοὺς χρυσᾶ μὲν ἐπαγγελλομένους τοῖς λόγοις, ἐναντία δὲ ποιοῦντας τοῖς ἔργοις.

Ανθρωπος, καταθραύσας ἄγαλμα.

ΑΝθρωπός τις ξύλινον ἔχων θεὸν, καθικέτευε τοῦ ἀγαθοποιῆσαι αὐτόν. ὡς οὖν ταῦτα ἔπραττεν, καὶ οὐδὲν ἧττον ἐν πενίᾳ διῆγε, θυμωθεὶς, ἄρας αὐτὸν τῶν σκελῶν, ἔῤῥιψεν εἰς τὸ ἔδαφος. προσκρουσάσης οὖν τῆς κεφαλῆς, καὶ αὐτίκα κλασθείσης, χρυσὸς ἐῤῥύησεν ὅτι πλεῖστος. ὃν περ δὴ συνάγων ὁ ἄνθρωπος ἐβόα. στρεβλὸς ὑπάρχεις ὥς γε οἶμαι καὶ ἀγνώμων. τιμῶντά σε γὰρ ἥκιστα με ὠφέλησας, τύψαντα δέ σε πολλοῖς καλοῖς ἀμείβῃ.

Επιμύθιον.

Ο μῦθος δηλοῖ. ὅτι οὐκ ὠφελήσῃ τιμῶν πονηρὸν ἄνθρωπον τύπτων δὲ αὐτὸν μᾶλλον ὠφελήσῃ.

Ανθρωπος καὶ κύων.

ΑΝθρωπός τις ἡτοίμαζε δεῖπνον, ὀψιάσων τινὰ τῶν φίλων αὐτοῦ καὶ οἰκείων. ὁ δὲ κύων αὐτοῦ ἄλλον κύνα ἐκάλει λέγων, ὦ φίλε, δεῦρο συνδείπνησόν μοι. ὁ δὲ προσελθὼν χαίρων ἵστατο, βλέπων τὸν μέγαν δεῖπνον, βοῶν ἐν τῇ καρδίᾳ. βαβαί. πόση μοι χαρὰ ἄρτι ἐξαπιναίως ἐφάνη. τραφήσομαί τε γὰρ καὶ εἰς κόρον δειπνήσω, ὥς τέ με αὔριον μηδαμῆ γε πεινᾶσαι. ταῦτα καθ' ἑαυτὸν λέγοντος τοῦ κυνὸς, καὶ ἅμα σείοντος τὴν κέρκον, ὡς δὴ εἰς τὸν φίλον θαῤῥοῦντος, ὁ μάγειρος ὡς εἶδε τοῦτον ὧδε κἀκεῖσε τὴν κέρκον περιστρέφοντα, καταχὼν τὰ σκέλη αὐτοῦ, ἔῤῥιψε παραχρῆμα ἔξωθεν τῶν θυρίδων. ὁ δὲ κατιὼν, ἀπῄει

μεγάλως

habuiſſes. Affabulatio.

Fabula in eos, qui uerbis quidē utilia promittunt, ſed contrà rebus faciunt.

Homo perfractor ſtatuæ.

HOmo qdā ligneū cū haberet deū, ſupplicabat, ut ſibi benefaceret. Cū igiť hęc faceret, & nihilo min9 in paupertate degeret, iratus eleuatū ipſum crurib9, ꝓiecit in pauimentū. Illiſo igitur capite, ac ſtatim diffracto, auri quamplurimū effluit, quod iam ille dum colligeret, exclamabat, peruerſus es ut puto, & ingratus. Colenti eīm mihi nequaꝙ̃ profuiſti, uerberanti autem te multa donaſti bona.

Affabulatio.

Fabula ſignificat, non profuturū te tibi, honorando prauū hominem, ſed uerberādo ipſum, profuturū magis. Homo, & canis.

HOmo qdā parabat cœnā, acceptur9 amicū quēdā ſuū & familiarē, canis itē ipſius aliū inuitādo canē, dicebat: ô amice ueni cœna unà mecū. Is cū acceſſiſſet, lætus aſtabat, magnā ſpectans cœnam, ſecum loquens: pape, quanta mihi lætitia nuper derepēte oblata eſt. Nam & nutriar, & ad ſatietatē cœnabo, ita ut nullo modo cras eſuriā. Hęc ſecū dū diceret canis, ſimulꝙ̃ moueret caudā, ut qui iam amico fideret, cocus ut uidit ipſum huc & illuc caudam circumagentē, arreptis ipſius crurib. eiecit ſtatim de feneſtris. At is cū decidiſſet, ibat

μεγάλως κράζων. τῶν τις δὲ κωμῶν, τῶν καθ' ὁδὸν αὐτοῦ συναντώντων, ἐπηρώτα, πῶς ἐλάπυνθας φίλος; ὁ δὲ πρὸς αὐτὸν ὑπολαβὼν ἔφη. ἐκ γὰρ πολλῆς πόσεως μεθυσθεὶς ὑπὲρ κόρον, οὐ δὲ τὴν ὁδὸν αὐτὴν ὅθεν ἦλθον οἶδα.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οὐ δεῖ θαρρεῖν τοῖς τῶν ἀλλοτρίων εὖ ποιεῖν ἐπαγγελλομένοις.

Αλιεύς.

Αλιεὺς ἁλιευτικῆς ἄπειρος λαβὼν αὐλοὺς καὶ δίκτυα, παραγενόμενος εἰς τὴν θάλασσαν. καὶ στὰς ἐπί τινος πέτρας, τὸ μὲν πρῶτον ηὔλει, νομίζων πρὸς τὴν ἡδυφωνίαν τοὺς ἰχθύας ἐφαλλεσθαι. ὡς δ' ἐπὶ πολὺ διατεινόμενος ἤνυσεν οὐδέν, ἀχθόμενος τοὺς αὐλοὺς, ἀναλαμβάνει τὸ ἀμφίβληστρον. καὶ βαλὼν ἐπὶ τοῦ ὕδατος, πολλοὺς ἰχθύας ἤγρευσεν. ἐκβαλὼν δὲ αὐτοὺς ἀπὸ τοῦ δικτύου, ὡς εἶδε σπαίροντας, ἔφη. ὦ κάκιστα ζῶα, ὅτε ηὔλουν, οὐκ ὠρχεῖσθε, ὅτε δὲ πέπαυμαι, τοῦτο ποιεῖτε.

Επιμύθιον.

Ο μῦθος πρὸς τοὺς παρὰ λόγον καὶ παρὰ καιρόν τι πράττοντας.

Βουκόλος.

Βουκόλος ἀγέλην ταύρων βόσκων, ἀπώλεσε μόσχον. περιελθὼν δὲ πᾶσαν τὴν ἔρημον διέτριβεν ἐρευνῶν. ὡς δὲ οὐδὲν εὑρεῖν ἠδυνήθη, ηὔξατο τῷ διὶ, ἂν τὸν λαβόντα μόσχον κλέπτην ὑποδείξῃ, ἔριφον εἰς θυσίαν προσάξειν. καὶ δὴ ἐρχόμενος εἴς τινα δρυμῶνα, εὑρίσκει λέοντα κατεσθίοντα τὸν μόσχον. ἔμφο-

uehementer exclamando. Sed canum quidam cum illi in uia occurrisset, percōtabatur, ut belle cœnatus es amice: Is suscipiēs ei dixit: Multo potu inebriatus supra satietatem, ne ipsam quidem uiam, qua egressus sum noui.

Affabulatio.

Fabula significat, non oportere confidere ijs, qui ex alienis bene facere pollicentur.

Piscator.

PIscator piscādi rudis, acceptis tibijs, ac retibus perrexit ad mare, & stans super petra quadam, primum quidem sonabat tibijs, existimans ad uocis suauitatē pisces assilire. Vt uero multum contendens, nihil profecit, depositis tibijs, assumit rete, ac iacto in aquam, multū piscium cepit. quibus euacuato reti, ut salientes uidit, ait: ô pessimæ animantes, cū sonarē tibia, non saltabatis, cum uero cessaui, id agitis.

Affabulatio.

Fabula in eos, qui prĕter rationem, & inopportune aliquid agunt,

Bubulcus.

BVbulcus armentum taurorū pascens, amisit uitulū, lustrādoq; omnē solitudinē, indagando moram traxit. Vbi inuenire nihil potuit, precatus est Iouem, si furē, qui uitulū cepit, ostenderit, hœdum in sacrificium oblaturum. Ceterum proficiscens in quercetū quoddam, inuenit à leone deuorari uitulum. Trepidus

βος οὖν γενόμενος, καὶ μέγα δειλιάσας, ἐπάρας τὰς χεῖρας αὐτοῦ εἰς τὸν οὐρανόν, εἶπεν. ὦ δέσποτα ζεῦ, ἐπηγγειλάμην σοι ἔριφον δώσειν, ἐὰν τὸν κλέπτην εὕρω, νῦν ταῦρόν σοι θύσειν ὑπισχνοῦμαι, ἐὰν τούτου τὰς χεῖρας ἐκφύγω.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρας δυστυχεῖς, οἵτινες ἀποροῦντες μὲν εὔχονται εὑρεῖν, εὑρόντες δὲ ζητοῦσιν ἀποφυγεῖν.

Κόραξ.

Κόραξ νοσῶν ἔφη τῇ μητρί, μῆτερ εὔχου τοῖς θεοῖς καὶ μὴ θρήνει. ἡ δ' ὑπολαβοῦσα ἔφη. τίς σε ὦ τέκνον τῶν θεῶν ἐλεήσει. τίνος γὰρ κρέας ὑπὸ σοῦ γε οὐκ ἐκλάπη;

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ πολλοὺς ἐχθροὺς ἐν βίῳ ἔχοντες, οὐδένα φίλον ἐν ἀνάγκῃ εὑρήσουσιν.

Ἀετός.

Ὑπεράνωθεν πέτρας ἀετὸς ἐκαθέζετο, λαγωὸν θηρεῦσαι ζητῶν. τοῦτον δέ τις ἔβαλε τοξεύσας, καὶ τὸ μὲν βέλος ἐντὸς αὐτοῦ εἰσῆλθεν. ἡ δὲ γλυφὴ σὺν τοῖς πτεροῖς πρὸ τῶν ὀφθαλμῶν εἱστήκει. ὁ δὲ ἰδὼν ἔφη. καὶ τοῦτό μοι ἑτέρα λύπη, τὸ τοῖς ἰδίοις πτεροῖς ἐναποθνήσκειν.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι δεινόν ἐστιν, ὅταν τις ἐκ τῶν ἰδίων κινδυνεύσῃ.

Τέττιξ καὶ μύρμηκες.

Χειμῶνος ὥρᾳ τῶν σίτων βραχέντων, οἱ μύρμηκες ἔψυχον. τέττιξ δὲ λιμώττων, ᾔτει αὐτοὺς

τροφὴν

dus igitur, perterrefactus, eleuatis manibus suis in cœlum, ait: ô domine Iupiter, promiseram tibi hœdum me daturum esse, si furem inuenirem, nunc taurum tibi recipio sacrificaturum, si huius manus effugero.

Affabulatio.

Fabula in homines infortunatos, qui dum carent, ut inueniãt, precãntur; cũ inuenerint, quęrunt effugere.

Coruus.

COruus ægrotãs, ait matri, mater precare deũ, nec lamẽtare. Ea uero suscipiẽs, ait, quis deus ô fili miserebit' tui? cuius eñ tu carnes nõ es furatus?

Affabulatio.

Fabula significat, qui in uita multos inimicos habent, amicum in necessitate inuenturos neminem.

Aquila.

SVper petra aquila sedebat, leporem captura, hanc aũt quidam percussit sagitta, quæ intra ipsam ingressa est. Sed crena cum pennis ante oculos stabat, quam cum uidisset, & hæc inquit mihi altera mœstitia, quòd proprijs pennis intercam.

Affabulatio.

Fabula significat, durum esse, cum quis à suis periculum patiatur.

Cicada & formicæ.

Hyemis tp̃e cũ triticũ efferueret, formicæ refrigerabãt, cicada aũt esuriens petebat ab eis ci-

τροφήν. οἱ δὲ μύρμηκες εἶπον αὐτῷ, διατί τὸ θέρος οὐ συνῆγες τροφήν; ὁ δὲ εἶπεν, οὐκ εὐχόλαζον, ἀλλ' ᾖδον μουσικῶς. οἱ δὲ γελάσαντες εἶπον. ἀλλ' εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὄρχου.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἐν παντὶ πράγματι, ἵνα μὴ λυπηθῇ καὶ κινδυνεύσῃ.

Σκώληξ καὶ ἀλώπηξ.

Ο Τῷ πηλῷ κρυπτόμενος σκώληξ, εἰς γῆν ἐξελθὼν, ἔλεγε πᾶσι τοῖς ζώοις. ἰατρός εἰμι φαρμάκων ἐπιστήμων, οἷός ἐστιν ὁ τῶν θεῶν ἰατρὸς παίων. καὶ πῶς εἶπεν ἀλώπηξ, ἄλλους ἰώμενος, σαυτὸν χωλὸν ὄντα οὐκ ἰάσω;

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι ἐὰν μὴ πρόχειρος ἡ πεῖρα, πᾶς λόγος ἀργὸς ὑπάρχει.

Ορνις χρυσοτόκος.

Ορνιθά τις ἔχων ᾠὰ χρυσᾶ τίκτουσαν, καὶ νομίσας ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι, κτείνας εὕρηκεν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων. ὁ δὲ ἀθρόον πλοῦτον ἐλπίσας εὑρήσειν, καὶ τοῦ μικροῦ ἐστέρηται ἐκείνου.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι, καὶ τὴν ἀπληστίαν φεύγειν.

Λέων καὶ ἀλώπηξ.

Λέων γηράσας, καὶ μὴ δυνάμενος διαρκέσαι αὐτῷ εἰς τροφὴν, ἔγνω δι' ἐπινοίας τί πρᾶξαι. καὶ δὴ παραγενόμενος ἐν σπηλαίῳ τινὶ καὶ κατακλιθεὶς, προσεποιεῖτο νοσεῖν. παραγενόμενα οὖν τὰ

ζῷα

cibum, formicæ uero dixerũt ei, cur ęstate non colligebas alimentũ? Hæc ait, nõ eram ociosa, sed canebam musicé. Tũ hæ ridendo dixerũt: si æstiuo tempore modulabaris, nunc salta.

Affabulatio.

Fabula significat, nõ oportere quęcų aliqua in re esse negligentẽ, ne mœreat, ac periclitetur.

Vermis, & uulpes.

QVi sub cœno celabat uermis super terrã egressus dicebat omnib. animalibus, medicus sum medicaminũ doctus, qualis est Pæon deorũ medicus. Et quomodo, ait uulpes, alios curans, teipsum claudũ nõ curas?

Affabulatio.

Fabula significat, nisi præsto experientia fuerit, omne uerbum inane esse.

Gallina auripera.

GAllinam quis habẽs oua aurea parientẽ, ratus intra ipsam auri massam inesse, occisam alijs gallinis similẽ reperit. Hic multũ sperãs inuenire diuitiarũ, & exiguis illis priuatus ęst.

Affabulatio.

Fabula significat, oportere cõtentum esse præsentibus, & fugere inexplebilitatem.

Leo, & uulpes.

LEo senio confectus, cum suppeditare sibi cibum non posset, decreuit astu id facere. Itaqų profectus in antrum quoddam, & deiectus simulabat ęgrotare. Aduenientes igitur ani-

citat Plato hanc fabulam in Alcib. priore. pag. 36 in col. penult.

ζῶα ὑπὸ σκέψεως χάριν, συλλαμβάνων κατήσθιεν αὐτά. πολλῶν οὖν ζώων ἀναλωθέντων, ἀλώπηξ τὸ τέχνασμα τοῦτο γνοῦσα, παρεγγένετο πρὸς αὐτόν. καὶ στᾶσα ἔξωθεν τοῦ σπηλαίου, ἐπυνθάνετο πῶς ἔχει. τοῦ δὲ εἰπόντος κακῶς, καὶ τὴν αἰτίαν πυνθανομένου δι᾽ ἣν οὐκ εἰσέρχεται, ἡ ἀλώπηξ ἔφη, ὅτι ὁρῶ ἴχνη πολλῶν εἰσιόντων ὀλίγων δὲ ἐξιόντων.

Επιμύθιον.

Ο μῦθος δηλοῖ, ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων ἐκ τεκμηρίων προορώμενοι τοὺς κινδύνους ἐκφεύγουσιν.

Λύκος καὶ γραῦς.

Λύκος λιμώττων περιῄει ζητῶν τροφήν. γενόμενος δὲ κατά τόπον, ἤκουσε παιδίου κλαίοντος καὶ γραὸς λεγούσης αὐτῷ, παῦσαι τοῦ κλαίειν. εἰ δὲ μή, τῇ ὥρᾳ ταύτῃ ἐπιδώσω σε τῷ λύκῳ. οἰόμενος δὴ ὁ λύκος ὅτι ἀληθεύει ἡ γραῦς, ἵστατο πολλὴν ἐκδεχόμενος ὥραν. ὡς δ᾽ ἑσπέρα κατέλαβεν, ἀκούει πάλιν τῆς γραὸς κολακευούσης τὸ παιδίον καὶ λεγούσης αὐτῷ, ἐὰν ἔλθῃ ὁ λύκος δεῦρο, φονεύσομεν ὦ τέκνον αὐτόν. ταῦτα ἀκούσας ὁ λύκος, ἐπορεύετο λέγων, ἐν ταύτῃ τῇ ἐπαύλει ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ πράττουσιν.

Επιμύθιον.

Ο μῦθος πρὸς ἀνθρώπους, οἵ τινες τὰ ἔργα τοῖς λόγοις οὐκ ἔχουσιν ὅμοια.

Ερίφος καὶ λύκος.

Ερίφος ἐπί τινος δώματος ἑστὼς, ἐπειδὴ λύκον παριόντα εἶδεν, ἐλοιδόρει καὶ ἔσκωπτεν αὐτόν. ὁ δὲ λύκος ἔφη, ὦ οὗτος οὐ σύ με λοιδορεῖς, ἀλλ᾽ ὁ τόπος.

Επιμύθιον.

animantes uiſitationis gratia,cõprehenſas de=uorabat. Multis igitur abſumptis animantib. uulpes ea arte cognita,acceſſit ad ipſum,et ſtãs extra ſpeluncã rogitabat quomodo ſe haberet. Cũ aũt is dixiſſet,male,cauſamq́; rogaret, quã ob rem nõ ingrederet̃,uulpes ait,quia me ueſti gia terrent,omnia ad introrſum ſpectantia,nul la retrorſum.

Affabulatio.

Fabula ſignificat, prudentes homines cõiectu ris præuiſa pericula euitare.

Lupus,& uetula.

LVpus eſuriens circuibat quęrendo cibũ, profectus autẽ ad locum quendam, audiuit lugentem puerulum,eiq́; dicentem anum, deſine plorare,ſin minus, hac hora tradã te lu=po:ratus igitur lupus ſerio loqui aniculam,ex=pectabat ad multam horam, ſed cũ aduenifſet ueſpera, audit rurſus anũ blandientẽ puerulo ac dicentẽ,ſi uenerit lupus huc, interficiemus eũ fili.His auditis,lupus eundo dicebat,in hoc tugurio aliud dicunt, aliud faciunt.

Affabulatio.

Fabula in homines, quorũ facta uerbis non re ſpondent.

Hœdus,& lupus.

HOedus ſuper domo quadam cum ſtaret, uiſo lupo prætereunte,cõuiciabatur, & mordebat ipſum:ſed lupus ait, heus tu,non tu mihi,ſed locus conuiciatur.

Affabulatio.

Fabula

Ὁ μῦθος δηλοῖ, ὅτι πολλάκις καὶ ὁ τόπος καὶ ὁ καιρὸς δίδωσι τὸ θράσος κατὰ τῶν ἀμεινόνων.

Ἡμίονος.

Ἡμίονος ἐκ κριθῆς παχυνθεὶς, ἀνεσκίρτησε βοῶν καὶ λέγων, πατήρ μου ἐστὶν ἵππος ὁ ταχυδρόμος, κἀγὼ αὐτῷ ὅλος ἀφωμοιώθην. καί ποτε ἀνάγκης ἐπελθούσης τρέχειν, ἐπειδὴ τοῦ δρόμου ἐπαύσατο, τοῦ πατρὸς ὄνου εὐθὺς ὑπεμνήσθη.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι κἂν ὁ χρόνος εἰς δόξαν φέρῃ τινὰ, τῆς ἑαυτοῦ γεννήσεως καὶ τύχης μὴ ἐπιλανθανέσθω. ἀβέβαιος γάρ ἐστιν ὁ βίος οὗτος.

Ὄφις καὶ γεωργός.

Ὄφις ἐν γεωργοῦ προθύροις φωλεύων, ἀνεῖλεν αὐτοῦ τὸ νήπιον παιδίον. πένθος δὲ τοῖς γονεῦσιν ἐγένετο μέγα. ὁ δὲ πατὴρ ὑπὸ τῆς λύπης πέλεκυν λαβὼν, ἔμελλεν τὸν ὄφιν ἐξελθόντα φονεύσειν. ὡς δὲ ἐκκύψε μικρὸν, σπεύσας ὁ γεωργὸς τοῦ πατάξαι αὐτὸν, ἠστόχησε, μόνον κρούσας τὴν τῆς τρώγλης ὀπήν. ἀπελθόντος δὲ τοῦ ὄφεως, ὁ γεωργὸς νομίσας τὸν ὄφιν μηκέτι μνησικακεῖν, λαβὼν ἄρτον καὶ ἅλας ἔθηκεν ἐν τῇ τρώγλῃ. ὁ δὲ ὄφις λεπτὸν συρίξας, εἶπεν. οὐκ ἔσται ἡμῖν ἀπάρτι πίστις ἢ φιλία, ἕως ἂν ἐγὼ τὴν πέτραν ὁρῶ, σὺ δὲ τὸν τύμβον τοῦ τέκνου.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οὐδεὶς μίσους, ἢ ἀμύνης ἐπιλανθάνεται, ἐφ᾽ ὅσον βλέπει μνημόσυνον, δι᾽ οὗ ἐλυπήθη.

Σαλπιγκτής.

Σαλπιγκτὴς στρατὸν ἐπισυνάγων, καὶ κρατηθεὶς

Fabula significat plerunque, & locū & tempus præbere audaciam aduersus præstantiores.

Mulus.

MVlus ordeo pinguefactus, lasciuiebat clamans ac dicēs, pater tuus est equus cursator, & ego ei totus sum similis: atque aliquando cum necesse foret ei currere, ut à cursu cessauit, patris asini statim recordatus est.

Affabulatio.

Fabula significat, etsi tempus ad gloriā promoueat aliquem, nō suæ tamē ipsius fortunæ obliuiscatur, instabilis enim est uita hęc

Serpens, & agricola.

SErpēs in agricolæ uestibulis delitescēs, sustulit eius infantē puerulū. Luct9 aūt parētib. fuit magn9. At pater prę mœrore accepta securi, egressum serpentem occisurus erat. Vt uero prospexit parūper, festinando agricola, ut ipsum pcuteret, errauit tātū percusso foraminis orificio. Digresso aūt serpēte, agricola ratus serpētē nō ampli9 iniurię meminisse, accepit panē & salem, apposuitque in foramine. Sed serpens tenui sibilo ait, nō erit nobis amodo fides amicitiaue, quādiu ego lapidem uideo, tu tui filij tumulum.

Affabulatio.

Fabula significat, nullū odij, aut uindictę obliuisci, quādiu uidet monimētū, quo tristat9 est,

Tubicen.

TVbicen exercitū cōgregās, ac superatus

ὑπὸ τῶν πολεμίων, ἐβόα, μὴ κτείνετέ με ὦ ἄνδρες εἰκῆ καὶ μάτην. οὐδένα γὰρ ὑμῶν ἀπέκτεινα, πλὴν γὰρ τοῦ χαλκοῦ τούτου οὐδὲν ἄλλο κτῶμαι. οἱ δὲ πρὸς αὐτὸν ἔφασαν, διὰ τοῦτο γοῦν μᾶλλον τεθνήξῃ, ὅτι σὺ μὴ δυνάμενος πολεμεῖν, τοὺς πάντας πρὸς μάχην ἐγείρεις.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πλέον πταίουσιν, οἱ τοὺς κακοὺς καὶ βαρεῖς δυνάστας ἐπεγείροντες εἰς τὸ κακοποιεῖν.

Κάλαμος καὶ ἐλαία.

Διὰ καρτερίαν καὶ ἰσχὺν καὶ ἡσυχίαν κάλαμος καὶ ἐλαία ἤριζον. τοῦ δὲ καλάμου ὀνειδιζομένου ὑπὸ τῆς ἐλαίας, ὡς ἀδυνάτου καὶ ῥᾳδίως ὑποκλινομένου πᾶσι τοῖς ἀνέμοις, ὁ κάλαμος σιωπῶν οὐκ ἐφθέγξατο. καὶ μικρὸν ὑπομείνας, ἐπειδὴ ἄνεμος ἔπνευσεν ἰσχυρός, ὁ μὲν κάλαμος ὑποσεισθεὶς καὶ ὑποκλινθεὶς τοῖς ἀνέμοις, ῥᾳδίως διεσώθη. ἡ δ᾽ ἐλαία ἐπειδὴ ἀντέτεινε τοῖς ἀνέμοις, κατεκλάσθη τῇ βίᾳ.

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι οἱ τῷ καιρῷ καὶ τοῖς κρείττοσιν αὐτῶν μὴ ἀνθιστάμενοι, κρείττους εἰσὶ τῶν πρὸς μείζονας φιλονεικούντων.

Λύκος καὶ γέρανος.

Λύκου λαιμῷ ὀστέον ἐνεπήγει. ὁ δὲ γεράνῳ μισθὸν παρέξειν εἶπεν, εἰ τὴν κεφαλὴν αὐτῆς ἐμβαλοῦσα, τὸ ὀστοῦν ἐκ τοῦ λαιμοῦ αὐτοῦ ἐκβάλοι. ἡ δὲ τοῦτ᾽ ἐκβαλοῦσα, δολιχόδειρος οὖσα, τὸν μισθὸν ἐπεζήτει. ὅστις γελάσας, καὶ τοὺς ὀδόντας θήξας, ἀρκεῖ σοι μισθὸς, ἔφη, τοῦτο καὶ μόνον, ὅτι ἐκ λύκου στόματος καὶ ὀδόντων ἐξῆρες κάραν σῶαν μηδὲν παθοῦσαν.

Ἐπι-

àb hostibus clamabat, ne mè temere, & frustrà uiri occidite. Nō enim uestrū quenq̃ occidi: nàm preter ęs hoc possideo aliud nihil: et hi ad ipsum dixere, ob id magis morieris, qui cū nequeas ipse pugnare, omneis ad pugnā excitas.

Affabulatio.

Fabula significat, plus peccare, q̃ malos, ac graueis principes concitant ad male agendum.

Arundo, & Oliua.

DE tolerātia, & uiribus, & quiete, arundo & oliua contendebant: cum arundini oliua conuicium faceret utpote imbecillę, ac facile cedenti uentis òmnibus, arundo tacendo nihil locuta est. Ac parūper præstolata, ubi acer afflauit uentus, àrundo succussà, & declinata uentis facile euasit, oliua autem cum uentis restitisset, ui diffracta est.

Affabulatio.

Fabula significat eos, qui tempori, ac præstantioribus nō resistunt, meliores esse ijs, qui cum potentioribus contendunt.

Lupus, & grus.

LVpus gutturi osse infixo mercedem grui præbiturum dixit, si capite iniecto, os ex gutture sibi extraxerit. Hæc autē eo extracto, quippe quæ procero esset collo, mercedē efflagitabat: qui subridendo, dentesq; exacuendo, sufficiat tibi, ait, illa sola merces, q̄ ex ore lupi & dentibus saluū caput & illæsum exemeris.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς ἄνδρας, οἳ τινὲς ἀπὸ κινδύνου διασωθέντες, τοῖς εὐεργέταις τοιαύτας ἀπονέμουσι χάριτας.

Ἀλεκτορες.

Ἀλεκτόρων δύο μαχομένων περὶ θηλειῶν ὀρνίθων, ὁ εἷς τὸν ἕτερον κατετροπώσατο. καὶ ὁ μὲν ἡττηθεὶς εἰς τόπον κατάσκιον ἀπιὼν ἐκρύβη. ὁ δὲ νικήσας, εἰς ὕψος ἀρθεὶς καὶ ἐφ' ὑψηλοῦ τοίχου στὰς, μεγαλοφώνως ἐβόησε. καὶ παρευθὺς ἀετὸς καταπτὰς, ἥρπασεν αὐτόν. ὁ δ' ἐν σκότῳ κεκρυμμένος ἀδεῶς ἔκτοτε ταῖς θηλείαις ἐπέβαινε. Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

Γέρων καὶ θάνατος.

Γέρων ποτὲ ξύλα κόψας, καὶ ταῦτα φέρων, πολλὴν ὁδὸν ἐβάδιζε. καὶ διὰ τὸ πολὺ κόπον ἀποθέμενος ἔν τόπῳ τινὶ τὸν φόρτον, τὸν θάνατον ἐπεκαλεῖτο. τοῦ δὲ θανάτου παρόντος, καὶ πυνθανομένου τὴν αἰτίαν δι' ἣν αὐτὸν ἐκάλει, δειλιάσας ὁ γέρων, ἔφη. ἵνα μου τὸν φόρτον ἄρῃς. Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος φιλόζωος, εἰ καὶ δυστυχεῖ, καὶ πτωχός ἐστι.

Βάτραχοι.

Βάτραχοι δύο ξηρανθείσης τῆς λίμνης ἐν ᾗ κατῴκουν, περιῄεσαν ζητοῦντες ποῦ καταμεῖναι. καὶ ἐλθόντες εἰς φρέαρ βαθὺ, καὶ κύψαντες κάτω, καὶ ἰδόντες τὸ ὕδωρ, ὁ μὲν εἷς συνεβούλευεν ἵνα πηδήσωσι παρευθὺς κάτω, ὁ δ' ἕτερος εἶπεν. εἰ δὲ καὶ τοῦτο ξηρανθῇ, πῶς δυνησόμεθα ἀναβῆναι.

Affabulatio.

Fabula in uiros, qui à periculo seruati, bene de se meritis eam gratiam referunt.

Galli.

DVob. gallis pugnantib. de gallinis fœminis, alter alterũ in fugã uertit. Ac uictꝰ in locũ obscurũ ꝓfectus, delituit. Sed qui uicit, in altũ eleuatus, stansq́ super alto pariete, magna uoce clamauit, & statim aduolans aquila eũ rapuit. At q in tenebris delitescebat, ex illo intrepide gallinas cõscendit. Affabulatio.

Fabula significat, dominũ superbis opponi, dare autem humilibus gratiam.

Senex & mors.

SEnex olim incisa à se ligna cũ ferret, multã ibat uiã, ac ob multũ laborẽ deposito in loco quodam onere, mortẽ inuocabat, sed mors cũ adesset, causamq́ peteret, propter q̃ se uocaret, perterrefactus senex, ait, ut meũ onus attollas. Affabulatio.

Fabula significat, omnem hominem esse uitæ studiosum, licet infortunatus sit & mendicus.

Ranæ.

DVæ ranæ siccata palude, ubi habitabãt, circuibant quærendo ubi manerent, ac profectæ in profundum puteũ, & acclinatæ deorsum, uisa aqua, altera cõsulebat, ut saltarent cõtinuo deorsum, altera uero ait, si & hic aruerit, quomodo poterimus ascendere?

Ἐπιμύθιον.

Ὁ μῦθος δηλοῖ, ἄνευ συμβουλῆς μὴ ποιεῖν τι.

Ἀρνὸς καὶ λύκος.

Ἀρνὸς ἐφ' ὑψηλοῦ τόπου ἱστάμενος, λύκον κάτωθεν παριόντα τὴν ὁδὸν ἔσκωπτε. καὶ θηρίον κακὸν ἀπεκάλει καὶ ὠμοβόρον. ὁ δὲ λύκος στραφεὶς εἶπε πρὸς αὐτόν. οὐ σύ με λοιδορεῖς, ἀλλ' ὁ πύργος ἐν ᾧ ἵστασαι.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς τοὺς ὑπομένοντας ὕβριν παρ' ἀναξίων ἀνθρώπων, διὰ φόβον ὑψηλοτέρων.

Κώνωψ καὶ λέων.

Κώνωψ πρὸς λέοντα ἐλθὼν εἶπε. οὐδὲ φοβοῦμαί σε, οὐδὲ δυνατώτερός μου εἶ. εἰ δὲ μή, τί σοί ἐστιν ἡ δύναμις, ὅτι ξύεις τοῖς ὄνυξι καὶ δάκνεις τοῖς ὀδοῦσι; τοῦτο καὶ γυνὴ τῷ ἀνδρὶ μαχομένη ποιεῖ. ἐγὼ δὲ λίαν ὑπάρχω σου ἰσχυρότερος, εἰ δὲ θέλεις, ἔλθωμεν καὶ εἰς πόλεμον. καὶ σαλπίσας ὁ κώνωψ, ἐνεπήγετο δάκνων τὰ περὶ τὰς ῥῖνας αὐτοῦ ἄτριχα πρόσωπα. ὁ δὲ λέων τοῖς ἰδίοις ὄνυξι κατέλυεν ἑαυτόν, ἕως οὗ ἠγανάκτησεν. ὁ δὲ κώνωψ νικήσας τὸν λέοντα, καὶ σαλπίσας, καὶ ἐπινίκιον ᾄσας, ἔπτατο. ἀράχνης δὲ δεσμῷ ἐμπλακεὶς, ἐσθιόμενος ἀπωδύρετο, ὅτι μεγίστοις πολεμῶν, ὑπὸ εὐτελοῦς ζώου τῆς ἀράχνης ἀπώλετο.

Ἐπιμύθιον.

Ὁ μῦθος πρὸς τοὺς καταβάλλοντας μέγα, καὶ ὑπὸ μικρῶν καταβαλλομένους.

ΤΕΛΟΣ ΤΩΝ

αἰσώπου μύθων.

Affabulatio.

Fabula significat, ne quid incõsulto fiat.

Agnus, & Lupus.

AGnus in alto cũ staret loco, lupũ inferius prætereuntẽ uiã, mordebat, & ferã malã & crudiuorã appellabat. Sed lupus conuersus ait ad ipsum, nõ tu contumeliaris mihi, sed ubi stas, turris. Affabulatio.

Fabula ad eos, q ferũt iniurias ab indignis hominibus metu sublimiorum.

De culice, & Leone.

CVlex ad leonem accedẽs, ait, neq; timeo te, neq; fortior me es. Sin minus, quod tibi est robur? quod laceras unguib. & mordes dentibus? hoc & fœmina cũ uiro pugnans facit. Ego uero longe sum te fortior: si uero uis, ueniamus ad pugnam, & cum tuba cecinisset culex; inhæsit mordẽs circa nares ipsius leueis genas: leo aũt proprijs unguibus dilaniauit seipsum, donec indignatus est. Culex autẽ uicto leone cum sonuisset tuba, & epinicium cecinisset, euolauit. Araneę uero uinculo implicitus cũ deuoraret, lamentabatur, quod cum maximis pugnãs, à uili animali aranea occideretur. i. cantus. siue præmium victoriæ.

Affabulatio.

Fabula in eos, qui prosternũt magnos, & à paruis prosternuntur.

FINIS AESOPI FABVLARVM.

ΓΑΒΡΙΟΥ ΕΛΛΗΝΟΣ ΤΕΤΡΑΣΤΙΧΑ

Περὶ ἀνθρώπου καὶ λιθίνου λέοντος.



Ἀνδρὸς ποσὶν πατεῖτο πέτρινος λέων.
καί τις λέοντί φησι, τὴν ἰσχὺν βλέπεις;
ἀλλ' εἰ λέοντες, εἶπεν, ᾔδησαν γλύφειν,
πολλοὺς ἂν εἶδες ὄντας ἀνθρώπους λίθους.
Ἐπιμύθιον ὅτι ἐπ' ἀρετῇ οὐ δεῖ σεμνύνεσθαι.

Περὶ λέοντος κοιμωμένου καὶ μυός.

Λέοντος ὑπνώττοντος, αὐχένος μέσον
διέδραμεν μῦς, ὃς δ' ἀνέστη συντόμως.
γελᾷ δ' ἀλώπηξ καὶ λέων ἀπεκρίθη.
οὐ μὲν πτοοῦμαι, τὴν ὁδὸν δ' ἀνατρέπω.
Ἐπιμύθιον, ὅτι οὐ δεῖ καὶ μικρὰν περιφρόνησιν ἀποστρέφεσθαι.

Περὶ λέοντος καὶ κάπρου καὶ γυπῶν.

Λέων μάχην ἔστησε πρὸς ποτὲ κάπρον.
γῦπες δ' ἄνωθεν ἐκκόπτουν τὴν ὄριν,
βρῶσιν τὸν ἡττηθέντα ποιῆσαι τάχα.
φίλους δ' ὁρῶντες ἠστόχουν τῶν ἐλπίδων.
Ἐπιμύθιον, ὅτι οὐ δεῖ ἀλλοτρίοις κακοῖς ἐπιχαίρειν.

Περὶ δορκάδος καὶ λέοντος θυμωθέντος.

Λέοντα δορκὰς ὡς ἴδεν μεμηνότα,
ὦ μοῖρα θηρῶν εἶπεν ἀθλιωτάτη,
εἰ σωφρονῶν γε, δυσκάθεκτος εἶ λέων,
πῶς νῦν μανεὶς οὐ μετὰ δακρύων δράσεις;
Ἐπιμύθιον, ὅτι ἐξουσίαν ἔχοντα οὐ δεῖ θυμοῦσθαι.

Περὶ λέοντος, ὄνου, ἀλώπεκος.

Λέων

De homine, & leone lapideo.


Iri pedibus calcabatur lapideus Leo.
Et quidam leoni. ecquid robur, inqt, intueris?
At si leones, ait ille, sciuissent scalpere,
Multos uidisses esse homines lapides.

Affabulatio. Quod non oporteat inflari uirtute.

De leone dormiente, & mure.

Leone dormiente, per mediam ceruicem
Percurrit mus. Is autem surrexit ilico.
Ridet uulpes. ac Leo respondit:
Non timeo. sed interrumpo iter.

Affabulatio. Quod non oporteat ne paruum quidem contemptum negligere.

De Leone, & Apro, & Vulturibus.

Leo pugnam parauit aduersus aprum.
Vultures uero deinsuper speculabantur litem,
Vt deuorarent statim, qui uinceretur.
Sed amicis iisdem uisis frustrati sunt spe.

Affabulatio. Quod non oporteat alienis malis lætari

De Caprea, & Leone furente.

Leonem caprea ut uidit furentem,
O fatum ferarum, ait, miserrimum.
Si compos mentis intolerabilis es Leo,
Quomodo nunc furens non plena facies lachrymarum?

Affabulatio. Quod non oporteat eum, qui potestatem habet, excandescere.

De Leone, Asino, Vulpe.

Λέων, ὄνος, κερδώ τε πρὸς θήραν ἴσαν.
ὄνου δὲ ταύτην εἰς τρίτον δεδασμένου,
λέων κατεσπάραξε, κερδὼ δὲ πλέον
γνοῦσα μέρος αὐτῷ, σωφρονίζεται δὲ ὄνου.
Επιμύθιον. ὅτι δεῖ διὰ ὧν πάσχουσιν ἕτεροι, παιδεύεσθαι.

Περὶ ὄνου βαστάζοντος εἴδωλον.

Ὤμοις ὄνος πρὶν ἦγεν ἀργυροῦν βρέτας,
ὅπερ συναντῶν, πᾶς τις αὖ ἐπροσκύνει.
τύφῳ δ᾽ ἐπαρθεὶς, μὴ θέλων μένειν ὄνος,
ἤκουσεν, οὐ θεὸς σὺ, τὸν θεὸν δ᾽ ἄγεις.
Επιμύθιον, ὅτι τοὺς ἐν ἀξιώμασι τιμωμένους δεῖ γινώσκειν, ὅτι ἄνθρωποί εἰσιν.

Περὶ παιδὸς ἐσθίοντος σπλάγχνα.

Βοὸς φαγὼν παῖς εἰς ἑορτὴν ἔγκατα,
οἴμοι κέκληγ᾽ ὡς σπλάγχνα μητρὸς ἐκχέω.
ἡ δ᾽ αὖ γελῶσα, μὴ φοβοῦ τέκνον, ἔφη.
τῶν σῶν γὰρ οὐδὲν, ἀλλ᾽ ἐμεῖς ἀλλοτρίαν.
Επιμύθιον, ὅτι δεῖ τἀλλότρια ἀντιστρέφειν, καὶ μὴ γογγίζειν.

Περὶ ἀλώπεκος καὶ βάτου.

Φραγμοὺς ἀλώπηξ ὡς ὑπερβαίνειν θέλων,
ὀλισθανοῦσα, καὶ βάτου δεδραγμένη,
ἔξεσε πέλμα, λοιδορεῖ δὲ τὴν βάτον.
μέμφου σεαυτὴν, μὴ μέ, περ κενὸς φάτο.
Επιμύθιον πρὸς τοὺς τὰ ἑαυτῶν κακὰ σιωπῶντας, τὰ δὲ τῶν ἑτέρων κατηγοροῦντας.

Περὶ κώνωπος καὶ ταύρου.

Κώνωψ καθῆστο πρὸς κέρας ταύρου πάλαι,
ὃν περ κελεύων εἴπερ ἐπτῆναι θέλει.

ἤκουσε

Leo, asinus, uulpes, ad prædam iere.
In treis parteis eam cum asinus diuisisset,
A' leone dilaceratus est, at uulpes plus
Ei tribuit edocta ab asino.
Affabulatio, q, ex ijs, quæ alij patiuntur, doceri oporteat.

De asino gestante simulacrum.

Humeris asinus gestabat simulacrum argenteum,
Quod unusquisq; occurrens adorabat.
Superbia uero elatus, nolens manere asinus,
Audiuit, non es tu deus, sed fers deum,
Affabulatio, quòd oporteat eos, qui in dignitatibus constitui sunt, cognoscere se esse homines.

De puero comedente intestina.

Bouis puer festo die cum comedisset uiscera,
Hei mihi clamabat, quod intestina effundo mater,
Hæc ridendo ait, ne timeas fili,
Non enim ex tuis quicquam, sed uomis ex alienis,
Affabulatio, quòd oporteat aliena restituere & non murmurare.

De uulpe, & rubo.

Sepem uulpes transilire ut uoluit,
Lapsa, ac rubo innixa
Percussa planta, conuicia dicebat rubo.
Increpa te ipsam, non me ille ait.
Affabulatio aduersus eos, qui sua tacent uitia, & aliena reprehendunt.

De culice, & tauro

Culex olim in cornu tauri sedebat
Quem dicere iussit, an se uolare uelit,

ἤκουσε δ᾽ ὡς πρὶν οὐκ ἔγνω καθημένου,
οὕτω δὲ μὴ πλήσαντος αἴσθησιν λάβῃ.
Ἐπιμύθιον πρὸς τοὺς λογιζομένους ἑαυτοὺς εἶναι ἢ σοφοὺς, ἢ δυνατοὺς, ἢ φρονίμους, μὴ ὄντας δέ.

Περὶ ἐλάφου καὶ ἀμπέλου.

Ἔλαφον ἐζήλαυνον οἱ κυνηγέται,
ἥ τις δασείαις ἀμπέλοις ἀπεκρύβη.
τὰ φύλλα βιβρώσκουσα δὴ τῶν ἀμπέλων,
κυνηγέτουσιν ἐνδίκως ἐθηράθη.
Ἐπιμύθιον πρὸς τοὺς κακοποιοῦντας τοὺς αὐτῶν εὐεργέτας.

Περὶ ὄφεως καὶ γεωργοῦ.

Ὄφιν θέλων τις αὖτ᾽ ὀλέθρου παιδὸς
πλῆξαι, πέτραν τ᾽ ἔσχισε, καὶ φιλεῖν θέλων.
ὄφις δέ φησι, πῶς γένοιντο συμβάσεις,
ἕως σὺ τύμβον τόνδ᾽, ἐγὼ πέτραν βλέπω;
Ἐπιμύθιον, ὅτι αἱ μεγάλαι ἔχθραι ἀδιάλλακτοί εἰσιν.

Περὶ παιδὸς καὶ σκορπίου.

Ὡς ἀκρίδας θήρευε παῖς τις, σκορπίῳ
προὔτεινε χεῖρας. ὃς δὲ, μὴ ψαύσῃς, ἔφη.
ὡς εἴγε μου ψαύσειας. ἐκ κόλπων στένων,
καὶ τὰς ἀληθεῖς ἐκκενώσεις ἀκρίδας.
Ἐπιμύθιον, ὅτι δεῖ κακοῖς ἀνθρώποις μὴ συμμίγνυσθαι.

Περὶ συὸς καὶ μυός.

Σῦς εἷλκέ τις μῶν ἔργον ὄντ᾽ ἀσιτίας.
οὓς χαλκέου βλέποντος, ἔστησαν, γέλων.
ὁ μῦς δ᾽ ἔτι ζῶν, εἶπε μεσὸς δακρύων,
ὡς οὐδὲ σῶν δύνασθε κἂν τρέφειν γένα;
Ἐπιμύθιον πρὸς τοὺς τὰ ἑαυτῶν παραπτώματα

παρα-

Audiuit quemadmodum non nouerat sedentem,
Itaq; neq; euolantem sentiret.
Affabulatio. Aduersus eos, qui uolunt esse docti, potentesue, aut prudentes, nec sunt.

De Cerua, & uite.

Ceruam persequebantur uenatores,
Quæ densis in uitibus delituit.
Sed folia uitium cum comederet,
Venatoribus iure præda fuit.
Affabulatio. Aduersus eos, qui malefaciunt benefactoribus suis.

De serpente, & agricola.

Serpentem quis pro filij interitu
Percussurus petramq; scidit, & amare uolebat.
Sed ait serpens, quomodo fient conuentiones?
Quamdiu tu tumbam hanc, ego lapidem uideo?
Affabulatio. Magnas inimicitias esse irreconciliabiles.

De puero, & Scorpio.

Cum locustas cepisset puer quidam scorpioni
Porrigebat manus: is autem, ne attigeris, ait,
Nam si me tetigeris, suspirando ex sinu
Veras quoq; locustas abijcies.
Affabul. Cum malis hominibus conuersari non oportere.

De Sue & Mure.

Sus quidam murem trahebat ad sedandam esuriem,
Quos uidentes fabri ferrarij, riserunt.
Mus uero adhuc uiuens ait lachrymarum plenus,
Ne unum quidem potestis pascere suem?
Affabulatio. Aduersus eos, qui suos casus

negli

παραβλέποντας, τὰ δὲ τῶν ἑτέρων γελῶντας.

Περὶ ὄνου καὶ λεοντῆς.

Φορῶν λέοντος δέρμα τοῖς ὤμοις ὄνος.
ηὔχει λέων εἶναί τις, αἰπόλους βλέπων.
ἐπεὶ δὲ γυμνὸς τῆς λεοντῆς εὑρέθη,
τοῦτον μύλων ἔμνησε τῆς ἀταξίας.

Ἐπιμύθιον. ὁ μῦθος δηλοῖ ὅτι αἱ παρ᾽ ἀξίαν τιμαὶ τάχιστα λύονται.

Περὶ τράγου καὶ ἀμπέλου.

Τράγῳ προσεῖπεν ἄμπελος, βλάπτεις σύ με
κείρων τὰ φύλλα, μὴ γὰρ οὐκ ἔστι χλόη;
ὅμως γὰρ ἂν βλάψειας, εὑρήσω τάχα
πρὸς θυσίαν σὴν εἰς θεοὺς οἶνον βλύσαι.

Ἐπιμύθιον, ὅτι πολλάκις θέλων τὶς ἀδικεῖν τινα, ὠφελεῖ αὐτόν.

Περὶ ἀνδρὸς καὶ γαλῆς γυναικός.

Ἀνὴρ γαλῆν γυναῖκα πρὸς δόμους ἄγει.
παρῆν δὲ κύπρις εἰς ἑορτὴν τοῦ γάμου.
νύμφη δὲ μῦν βλέψασα, συντόνῳ τάχει
δίωκε τοῦτον, μὴ τραπεῖσα τὴν φύσιν,

Ἐπιμύθιον, ὅτι τὸ ἐκ φύσεως ὂν, οὐ μετατρέπεται.

Περὶ δορκάδος τῆς τῶν ποδῶν λεπτότητα μεμφομένης.

Πηγαῖς ὁρῶσα δορκὰς αὐτῆς τι θέαν,
λεπτοὺς πόδας μωμεῖτο, χαῖρε δ᾽ εἰς κέρα.
λέων δ᾽ ἐπεὶ δίωκε, τούτους ἠγάπα,
κέρα καθυβρίζουσα, θήρας ὡς πάγην.

Ἐπιμύθιον ὅτι πολλάκις τὶς ὠφελεῖται, ἐξ ὧν δοκεῖ βλάπτεσθαι.

Περὶ ἀλώπεκος καὶ σταφυλῆς.

Κερδώ

negligunt, alienos uero derident.

De asino & pelle leonis.

Leonis pellem humeris ferens asinus,
Iactabat esse leo quispiam, uidendo caprarios.
Sed ubi sine leonis inuentus est pelle,
Pistrinum eum memorem turbationis reddidit

Affabulatio. Fabula significat, immeritos honores quamprimum solui.

De hirco, & uite.

Hircum uitis allocuta est, offendis tu me
Tondendo folia. num nam non est herba?
Quamuis enim nocueris, inueniam statim
Ad mactationem tui erga deos uinum ut scaturiat.

Affabulatio, quod plerunq; uolens quis aliquem iniuria afficere, iuuet eum.

De uiro, & fele uxore.

Vir felem uxorem in domum duxit,
Adfuit Venus in nuptiarum solennitate,
Sponsa uero uiso mure, contenta celeritate
Eum persecuta est, non mutata natura.

Affabulatio, quod id, quod à natura est, non transmutetur.

De caprea reprehendente pedum tenuitatem.

In fontibus suam imaginem uidens caprea,
Tenueis carpebat pedes, sed gaudebat cornibus.
Cum uero leo persecutus est ipsam, eos amabat,
Cornua repræhendens, ut prædæ laqueum.

Affabulatio, quod plerunq; quis iuuatur ex quibus uidetur lædi.

De uulpe, & uua.

Κερδὼ βότρυν βλέπουσα μακρᾶς ἀμπέλου
πρὸς ὕψος ἦρτο. καὶ καμοῦσα πολλάκις
ἑλεῖν ἀπεῖπε, πρὸς δ' ἑαυτὴν ταῦτ' ἔφη,
μὴ κάμνε, ῥαγὸς ὀμφακίζουσιν μάλα.
Ἐπιμύθιον πρὸς τοὺς ποιοῦντας τὴν ἀνάγκην φιλοτιμίαν.

Περὶ κόρακος καὶ ἀλώπεκος.

Τυρὸν κόραξ ἔδακνε. κερδὼ δ' ἠπάτα.
εἰ γλῶσσαν εἶχες, ζηλωτὸς ἦς ὄρνις μέγας.
εὐθὺς δ' ὁ τυρὸν ῥίψεν, ἡ δ' αὐτὸν φάγεν.
ἔχεις κόραξ ἅπαντα, νοῦν κτῆσαι μόνον.
Ἐπιμύθιον πρὸς τοὺς ταῖς κολακείαις χαίροντας.

Περὶ βατράχων καὶ ἡλίου.

Γάμοις ἔχαιρον βάτραχοι τοῦ ἡλίου,
καί τις πρὸς αὐτοὺς εἶπεν, ὦ δειλὸν γένος.
εἰ γὰρ μόνας τρέμοιμεν αὐγὰς ἡλίου,
τίς εἶγε τεκνώσειε τοῦτον βαστάσει;
Ἐπιμύθιον πρὸς τοὺς τῇ ἰδίᾳ βλάβῃ ἀγνωσίας χαί-
ροντας.

Περὶ ὄρνιθος ᾠὸν χρυσοῦν τικτούσης, καὶ φιλαργύρου.

Ἔτικτε χρυσοῦν ᾠὸν ὄρνις εἰσάπαξ.
καί τις πλανηθεὶς χρυσεραστὴς τὰς φρένας,
ἔκτεινε ταύτην, χρυσὸν ὡς λαβεῖν θέλων.
ἐλπὶς δὲ μεῖζον δῶρον ὤλεκε τύχης.
Ἐπιμύθιον πρὸς τοὺς ἐλπίδι κέρδους εἰς ζημίαν ἐκ μικρο-
ψυχίας ἐμπίπτοντας.

Περὶ ἀστροσκόπου καὶ ὁδοιπόρου.

Ἄστροις προσκοπῶν τις ἀστροσκόπος,
πίπτει λεληθὼς πρὸς φρέαρ, τυχὼν δέ τις
ὁδοιπόρος, στένοντι ταῦτ' ἔφη λέγων,

νοῦν

Vulpes racemum proceræ uidens uitis,
In altum eleuabatur, cumq; diu laborasset,
Vt caperet, defatigata est, sed secum hæc locuta est,
Ne labora, acini uuæ exacerbescunt admodum.
Affabulatio ad eos qui de necessitate uoluntatem faciunt.

De Coruo & uulpe.

Caseum coruus mordebat, sed uulpes decipiebat
Si linguam haberes, esses magna Iouis auis.
Continuo uero is eum abiecit, ea autem comedit.
Habes corue omnia, mentem solam compara.
Affabulatio aduersus eos qui adulationibus delectantur.

De Ranis, & Sole.

Ob nuptias Solis lætabantur ranæ.
Quædamq; ad eas ait, ô miserum genus.
Nam si solos radios solis timemus,
Si genuerit filios, quis eum feret?
Affabulatio aduersus eos, qui suo damno præ ignorantia gaudent.

De Gallina aureum ouum pariente, & auaro.

Ouum aureum gallina semel peperit.
Quidamq; auarus deceptus animo,
Eam occidit, aurum accepturus.
Sed spes perdidit maius fortunæ donum.
Affabulatio in eos qui spe lucri, in damnum ex pusillanimitate incidunt.

De stellarum speculatore, & uiatore.

Stellis intentus quidam stellarum speculator
Cadit imprudenter in puteum, sed quidam superueniens
Viator suspiranti hæc inquit dicendo.

νοῦν θεὶς ἄνω, βέλτιστε τὴν γῆν οὐ βλέπεις.

Ἐπιμύθιον, ὅτι πολλοὶ τὰ ἐνεστῶτα μὴ γινώσκοντες, τὰ μέλλοντα καυχῶνται γινώσκειν.

Περὶ ἵππου καὶ κάπρου.

Ἤριζεν ἵππος ἀγριωτάτῳ κάπρῳ.
ὁρμὴν δὲ θηρὸς ἵππος οὐ φέρων ὅλως,
ἑαυτὸν ἐκδέδωκεν, εὑρὼν σύμμαχον
εὔπειρον, ἄνδρα πρὸς σφαγὴν τοῦ θηρίου.

Ἐπιμύθιον, ὅτι δι᾽ ἔχθραν τινὲς καὶ εἰς δουλείαν ἑαυτοὺς ἐμβάλλουσιν.

Περὶ ἀνδρὸς μιξότριχος, καὶ δυοῖν ἑταίραιν.

Ἐρωμένας δύ᾽ εἶχεν ἀνὴρ μιξόθριξ.
χρόνῳ δ᾽ ἐνεωοχοῦνται πάντῃ καὶ τρόπῳ,
ἡ μὲν μελαίνας, ἡ δὲ λευκὰς ἐκφόρουν.
ὃς ἐξ ὧν ψιλωθεὶς, πᾶσιν ὤφθη γέλως.

Ἐπιμύθιον πρὸς τοὺς εἰς δύο ἐναντία πράγματα ἑαυτοὺς ἐμβάλλοντας.

Περὶ ἀετοῦ τε καὶ κολιοῦ.

Ἀρνὸν καταπτὰς ἀετὸς καθαρπάσας,
ἰδὼν κολοιὸς, ἐν κενῷ πράττει τάδε.
ὃν εἷλε ποιμὴν, παῖς δ᾽ ἐφώνει τοῦτό τι,
ἐμοὶ κολοιός. ἀετὸς δ᾽ αὐτὸς πέλει.

Ἐπιμύθιον, ὅτι οὐ δεῖ μιμεῖσθαι τοὺς κρείττονας

Περὶ κολοιοῦ τε καὶ ἄλλων ὀρνέων.

Ἀλλοτρίοις πτεροῖσιν ἠμφιεσμένος
ἤυχει κολοιὸς ὀρνέων ὑπερφέρειν,
πρῶτον δὲ δῶρον ἡ χελιδὼν ἥρπακε,
μεθ᾽ ἣν ἅπαντες, εἶτα γυμνὸς εὑρέθη.

Ἐπιμύθιον, ὅτι τὸ ἐξ ἐράνου κάλλος διαλύεται.

Περὶ

animum applicando sursum ô optime, terram non uides,
Affabulatio quod pleriq;, cum præsentia nesciant,
futura cognoscere gloriantur.

De equo, & apro.

Pugnabat equus cum ferocissimo apro,
Impetum uero feræ equus cum penitus non sustineret,
Sese dedidit, inuento socio
Viro iugulandæ feræ perito.
Affabulatio, quod nonnulli ob inimicitas in ser/
uitutem sese dedunt.

De uiro misticapillo, & duabus amicis.

Amicas duas habebat uir misticapillus,
Aetate autem & moribus omnino dissimileis,
Altera nigros capillos, albos altera euellebant.
Quapropter depilatus, omnibus ridiculo fuit.
Affabulatio, aduersus eos, qui in duas res contrarias
sese inijciunt.

De aquila & cornicula.

Agnum deuolans Aquila cum rapuisset,
Idq; uidisset monedula, in ariete facit eadem.
Quam pastor cepit, filius autem clamabat tale quid,
Mihi monedula, aquila autem sibi est.
Affabulatio, quòd non oportet imitari præstantiores.

De Cornicula & cæteris auibus.

Alienis pennis induta
Gloriabatur cornicula præstare auibus.
Primum donum hirundo rapuit,
Post eam omnes. hinc nuda inuenta est.
Affabulatio, quòd ex collatione pulchritudo dissoluatur.

Περὶ ἀετοῦ καὶ οἰστοῦ.

Βέλει τὸ στῆθος ἀετὸς τρώθη πάλαι.
ἀλγῶν δὲ λοιπὸν ἦστο πολλὰ δακρύων,
Βλέπων δ' οἰστὸν εἶπεν ἐπτερωμένον.
Βαβαί, πτερόν με τὸν πτερωτὸν ὀλλύει.

Ἐπιμύθιον πρὸς τοὺς ἐκ τῶν ἰδίων κακῶς πάσχοντας.

Περὶ θηρῶν καὶ ὀρνέων μάχης καὶ στρουθοῦ.

Πᾶσι πεφύκει θηρσὶ, καὶ πτηνοῖς μάχη.
ἦλω λίβυσσα στρουθὸς, ἣ τοὺς δ' ἐπλάνα,
εἶναι μὲν ὄρνις, ἐκ μορφῆς δὲ θηρείου.
πτηνοῖς κάραν δεικνῦσα, τοῖς θηρσὶ πόδας.

Ἐπιμύθιον πρὸς τοὺς δυσὶ κυρίοις δουλεύοντας, καὶ πλανῶντας ἀμφοτέρους.

Περὶ χελιδόνος καὶ κριτηρίου.

Πῆξε χελιδὼν νεοσσιὰν κριτηρίου
ὕπερθεν. ἧς περ τὴν γονὴν βλάπτει δράκων,
ἣ δ' αὖτ' ἔφησεν, ὦ πολυστόνου τύχης,
ὅπου γὰρ ἐκδίκησις ἐβλάβην μόνη. Ἐπιμύθιον πρὸς τοὺς παθόντας κακὸν ἀπὸ καλῶν ἀνθρώπων.

Περὶ τριῶν βοῶν ὁμοφώνων, εἶτα ἀσυμφώνων καὶ λέοντος

Ὁμόφρονες νέμοντο τρεῖς ὁμοῦ βόες,
οὓς οὐδὲ θὴρ ἔβλαπτε πολλάκις λέων.
ἔχθρας δὲ μίσει, καὶ μάχης διασχίσας,
ἕκαστον ἐκβέβρωκε γυμνὸν ὡς ἕνα.

Ἐπιμύθιον πρὸς τοὺς σχιζομένους ἐκ τῶν ἰδίων, καὶ διὰ τοῦτο κακῶς πάσχοντας.

Περὶ γεωργοῦ καὶ γεράνου.

Ἔθνει γεράνων πῆξε τις σπορεὺς πάγην.
μεθ' ὧν πελαργὸν εἷλεν, ὃς θρηνεῖ μέγα,

ἔφη

De aquila, & ſagitta.

Sagitta pectus aquila uulnerata eſt olim.
Dolens autem poſtea ſedebat admodum plorans.
Videns autem ſagittam pennatam, ait,
Papé, penna me pennatam occidit.
Affabulatio in eos, qui à ſuis mala patiuntur.

De pugna ferarum ac uolucrum, & ſtruthione.

Omnes inter ſe feræ & uolucres concertabant.
Capta eſt ſtruthio Libyca, quæ haſce decipiebat.
Eſſe quidem auis, ex parte uero fera,
Volucribus caput, feris pedes oſtendens.
Affabulatio aduerſus eos, qui duobus ſeruiendo dominis, utroſq; decipiunt.

De Hirundine & prætorio.

Hirundo fixit nidulum in prætorio,
Cuius prolem lædit ſerpens.
Hæc autem dixit ô ingemiſcendam fortunam.
Vbi enim ultio eſt, ſola offenſa ſum
Affabulatio ad eos, qui malum à bonis patiuntur.

De tribus bobus cõcordibus, inde diſcordibus, & leone.

Concordes paſcebantur tres ſimul boues,
Quos ne fera quidem lædebat leo.
Cum uero inimicitiarum odio & pugna diſſenſiſſent,
Singulos deuorauit nudos ut unum.
Affabulatio aduerſus eos, qui à ſuis diſſident, & propterea mala patiuntur.

De agricola, & Ciconia.

Gruibus tetendit agricola quidam laqueum.
Cum quibus Ciconiam cepit, quæ uehementer lugebat,

ἔφη δ' ἀγροτεὺς, ὡς φίλος μὲν εἶ σύ μοι.
ἀλλ' ἡ πάγη λαβοῦσα, σὺν κακοῖς ἔχει.
Επιμύθιον πρὸς φίλον τινὸς, ἐνούμενον τοῖς ἐχθροῖς τοῦ φίλου αὐτοῦ.

Περὶ κυνὸς καὶ εἰδώλου αὐτοῦ ἐν τῷ ὕδατι.

Φέρων ποταμοῦ πλησίον κύων κρέας,
κύψας ἑαυτὸν, ἄλλον εἰς ὕδωρ βλέπει.
χανὼν δὲ λοιπὸν τοῦ κάτω λαβεῖν κρέας,
ἀπεστερεῖτο καὶ τοῦ, οὗπερ ἐκράτει.
Επιμύθιον, ὅτι ὁ πλεονεκτῶν μᾶλλον ζημιοῦται.

Περὶ ὄνου καὶ ἁλὸς καὶ σπόγγων.

Περῶν ποταμὸν, φόρτον ἦγ' ἁλὸς ὄνος.
ἐν ᾧ τε καὶ πέπτωκε κουφισθεὶς βάρος.
σπόγγον ἔπειτα πλῆθος οὕτως ὡς φέρων,
πεσὼν ἑκοντὶ, δυστυχῶς ἀπεπνίγη.
Επιμύθιον, ὅτι πολλάκις προσδοκία κέρδους εἰς ζημίαν καταντᾷ.

Περὶ καμήλου καὶ διός.

Κυρτὴ θεὸν κάμηλος ᾐτεῖ κέρα,
ἣν ἐξεμυκτήρισε διὰ ἀβουλίας.
ζημοῖ γὰρ αὐτὴν λοιπὸν, ὦτα, καὶ κάραν.
ὡς ἄν γε παντάπασιν αἰσχίστη πέλῃ.
Επιμύθιον, ὅτι δεῖ παρὰ τοῦ θεοῦ αἰτεῖν τὰ προσήκοντα.

Περὶ λύκου καὶ ἀρνός.

Λύκος πρὸς ἄρνα φησὶν, οὐ προὔδειξεν σύ μοι
ὕδωρ τάρακτον; ἄρτι γαστρὸς ἐξέφυν,
καὶ πῶς ὕδωρ τάρακτον ἀγνοῶ ποτε.
θοίνη γένῃ μοι, κἂν θέμις, κἂν μὴ θέμις.
Επιμύθιον πρὸς τοὺς ἀδεῶς, φανερῶς ἀδικοῦντας.

Dixit autem agricola, ut amica quidem tu mihi es,
Sed laqueus, qui cepit, te cum malis tenet.
Affabulatio, in amicum cuiusdam, coniunctum
cum inimicis amici ipsius.

De cane & imagine ipsius in aqua.

Canis secundum flumen carnes ferens,
Cum se acclinasset, alium in aqua uidet.
Hiscens autem ut inferiores alias carnes caperet,
Priuatus & ijs est, quarum dominus erat.
Affabulatio, quòd cupidus magis damno afficitur.

De Asino & sale, & spongijs.

Transeundo fluuium onus salis portabat asinus,
In quo etiam cecidit leuatus onere.
Dehinc cum itidem multum spongiarum ferret
Cecidit sponte, & infeliciter suffocatus est.
Affabulatio, quòd plerunq; expectatio lucri in
damnum incurrit.

De Camelo, & Ioue.

Curua Camelus à deo petebat cornua,
Quam derisit ob malum consilium.
Minuit enim ei de cætero aures, & caput
Vt ab omni parte foret turpissima.
Affabulatio, quòd oporteat à deo conuenientia petere.

De lupo, & agno.

Lupus agno inquit, nonne dudum tu mihi
Aquam perturbasti? nuper ex uentre natus sum,
Et quomodo aquam perturbarim nescio quando.
Cœna fies mihi & iure, & iniuria.
Affab latio, aduersus eos, qui intrepide palam iniurij sunt.

Περὶ δειλοῦ κυνηγοῦ καὶ ποιμένος.

Δειλὸς κυνηγὸς πρός τιν' εἶπε ποιμένα,
εἰπὲ λέοντος ἴχνος εἶδες, μοὶ φράσον.
σοὶ τοῦτον, εἶπεν, ἔθελεις, δείξω, πέλας
ἴχνος. κυνηγὸς εἶπεν, οὐ ζητῶ πλέον,

Ἐπιμύθιον πρὸς ἀνθρώπους θρασεῖς πρὸς λόγους, καὶ πρὸς ἔργα δειλούς.

Περὶ ἱππότου καὶ ἀγροίκου.

ᾔτει λαβεῖν ἄγροικον λαγὼν ἱππότης.
λαβὼν δὲ χερσὶ τοῦτον, ἠρώτα, πόσου;
καὶ πῶλον ἐξήλαυνεν, ἄγροικος δ' ἔφη.
μὴ σπεῦδε, σοὶ δώρημα τοῦτο προσφέρω.

Ἐπιμύθιον πρὸς τοὺς ἐξ ἀνάγκης προαιτουμένους τὰ ἴδια.

Περὶ λύκου καὶ ὄνου.

Σπεῦσιν ἧλον εἷλεν ἐξ ὄνου λύκος,
αὐτὸς δὲ μισθὸν πλήττεται λὰξ τὴν γένυν.
λύκος δέ φησι, πῶς μάγειρος ὢν πάλαι
ἰατρικῆς μετῆλθον ἔργ' ἀναξίως;

Ἐπιμύθιον πρὸς τοὺς τὴν ἰδίαν τέχνην καταλιμπάνοντας, καὶ ἑτέραν μετερχομένους ἐπὶ βλάβῃ.

Περὶ λύκου καὶ γεράνου.

Εἰς λαιμὸν ὀστοῦν ἐμπεπήγη τῷ λύκῳ.
μισθῷ δ' ἑλὼν γέρανος, ᾔτει τὴν χάριν.
σῶον τράχηλον ἐκ λύκου λαιμοῦ φέρων,
μηδ' ἄλλο μηδὲ μισθόν, ἢ τοῦτο σκόπει.

Ἐπιμύθιον πρὸς τοὺς ἐπικίνδυνον πρᾶξιν ἐγχειρήσαντας, καὶ μετὰ τὸ σώθημα ζητοῦντας μισθόν.

Περὶ ταύρου καὶ τράγου.

ἤλαυνε ταῦρον ἐξ ἑῆς κοίτης τράγος.

De uenatore timido, & pastore.

Timidus uenator pastori cuidam, ait,
Sicubi Leonis uestigium nosti, dic mihi:
Tibi ipsum, ait, uis, ostendam, longè
Vestigium. Venator ait, non quæro amplius.
Affabulatio aduersus homines audaces uerbis
& factis timidos.

De equite, & agricola.

Petebat leporem ab agricola, ut acciperet miles
Accepto eo manibus rogabat, quanti?
Et equum admisit, agricola autem ait,
Ne festina: tibi donum hoc offero.
Affabulatio aduersus eos, qui necessario recusant res suas.

De Lupo, & asino.

Ex Asino clauum dentibus extraxit lupus,
Petens mercedem, percutitur calcibus genam.
Lupus autem inquit, quomodo cocus cum essem olim
Medicinæ opera indigne exercui?
Affabulatio in eos, qui propriam artem derelin-
quunt, & aliam ingrediuntur incommode.

De Lupo, & Grue.

In lupi gutture os infixum erat,
Mercede autem cum extraxisset grus, petebat pretium.
Saluum collum ex lupi gutture ferens,
Nullam aliam mercedem, quàm hoc considera
Affabulatio in eos, qui periculosum negocium aggrediun-
tur, & post contentionem quærunt mercedem.

De Tauro, & Hirco.

Expellebat taurum ex suo cubili hircus.

ὃν θὴρ λέων διώκειν, εἶτε δὲ σφῶν.
εἶπεν μὲ μὴ λέοντος ἐπτόει φόβος,
ἔγνως ὅσον ταύρου τε καὶ τράγου διαφέρου.
Επιμύθιον πρὸς τοὺς καταδεχομένους ὑβρίζεσθαι ὑπὸ μικρῶν, διὰ φόβον ἑτέρων μειζόνων.
Περὶ μύρμηκος καὶ τέττιγος.
ἤτει τροφὴν μύρμηκα τέττιξ ἐν κρύει.
μύρμηξ δ' ἔφησε, τί θέρους ὄντος ἔδρας;
ὡς ἐν θέρει εἴρηκεν ἤδον ὀξέως.
χειμῶνος ὄρχου φησί, μὴ τροφῆς ὥρα.
Επιμύθιον πρὸς τοὺς μὴ θέλοντας ἐν νεότητι κοπιάζειν, καὶ διὰ τοῦτο ἐν τῷ γήρα πτωχεύοντας.
Περὶ ὄφεως καὶ γεωργοῦ.
Εθαλπέ τις γεωργὸς ἐν κόλποις ὄφιν
ὥρα κρύους, ἐπεὶ δὲ θέρμης ἤσθετο,
ἔπληξε τὸν θάλψαντα, κἄκτεινε τάχος.
οὕτω κακοὶ ποιοῦσι τοὺς εὐεργέτας.
Περὶ χελιδόνος.
Αγροῦ χελιδὼν μακρὰν ἐξεπωτήθη,
εὗρε δ' ἐρήμοις ἐγκαθημένην ὕλαις
ἀηδόν' ὀξύφωνον. ἡ δ' ἀπεθρήνει
τὸν ἴτυν, ἄωρον ἐκπεσόντα τῆς ὥρης.
χ' ἡ μὲν χελιδών φησι, φιλτάτη ζώοις,
πρῶτον βλέπω σε σήμερον μετὰ θρᾴκην.
ἀλλ' ἔλθ' εἰς ἀγρόν, καὶ πρὸς οἶκον ἀνθρώπων.
σύσκηνος ἡμῖν, καὶ φίλη κατοικήσεις;
ὅπου γεωργοῖς, κοὐχὶ θηρίοις ᾄσεις.
τὴν δ' αὖτ' ἀηδὼν ὀξύφωνος ἠμείφθη,
ἔα με πέτραις ἐμμένειν ἀοικήτοις.

Quem fera leo insectabatur, ait autem suspirans,
Nisi me leonis timor perterreret,
Scires quanta tauri & hirci uis sit
Affabulatio ad eos qui affici iniuria ferunt à paruis metu maiorum.

De formica, & cicada.

Petebat à formica cicada cibum.
Sed formica ait. quid æstate faciebas?
Quod acute æstate caneret dixit.
Hyeme salta, inquit, ne ama cibum.
Affabulatio aduersus eos, qui in iuueutute nolunt laborare, & propterea in senectute mendicant.

De serpente, & agricola.

Agricola quidam in sinu fouit serpentem
Frigoribus, ubi autem calorem sensit,
Percussit eum qui fouit, atq; occidit statim.
Sic mali tractant benefactores.

De Hirundine, & Philomena.

Procul ab agro hirundo euolauit.
Reperit autem in desertis sidentem syluis
Acute canentem Lusciniam, ea uero lugebat
Itym immaturum excessisse è uita.
Et Hirundo, inquit, charissima salua sis,
Primum hodie te post Thraciam uideo.
Sed ueni rus & in domum hominum,
Contubernalis nobis, & chara habitabis,
Vbi agricolis, & non feris cantabis.
Cui Luscinia canora respondit,
Sine in petris manere desertis.

οἶκος δέ μοι πᾶς, ἥτε μῖξις ἀνθρώπων
μνήμην παλαιῶν συμφορῶν ἀναφλέξει.
Ἐπιμύθιον, ὁ μῦθος δηλοῖ, ὅτι κρεῖττον ἐν ἐρήμοις
ζῆν ἀλύπως, ἢ συνοικεῖν ἐν πόλεσι τοῖς κακοῖς.

ΤΩΝ ΓΑΒΡΙΟΥ
μύθιον τέλος.

Nam domus omnis, & consuetudo hominum
Memoriam antiquarum calamitatum reaccendet.
Affabulatio. Fabula significat, præstare sine dolore uiuere in desertis, quàm cum malis habitare in ciuitatibus.


GABRIAE FABVLARVM FINIS.

Ἐκ τῶν Ἀφθονίου σοφιστοῦ προγυμνασμάτων.



Μῦθος ποιητῶν μὲν προῆλθε, γεγένηται δὲ καὶ ῥητόρων κοινὸς ἐκ παραινέσεως. ἔστι δὲ μῦθος λόγος ψευδὴς εἰκονίζων ἀλήθειαν. καλεῖται δὲ συβαριτικὸς, καὶ κίλιξ, καὶ κύπριος πρὸς τοὺς εὑρόντας μεταθεὶς τὰ ὀνόματα. νικᾷ δὲ μᾶλλον αἰσώπιος λέγεσθαι, διὰ τὸν αἴσωπον ἄριστα πάντων συγγράψαι τοὺς μύθους. τοῦ δὲ μύθου τὸ μέν ἐστι λογικόν, τὸ δὲ ἠθικόν, τὸ δὲ μικτόν. καὶ λογικὸν μὲν, ἐν ᾧ τι ποιῶν ἄνθρωπος πέπλασται. ἠθικὸν δὲ τὸ τῶν ἀλόγων ἦθος ἀπομιμούμενον. μικτὸν δὲ τὸ ἐξ ἀμφοτέρων ἀλόγου, καὶ λογικοῦ. τὴν δὲ παραίνεσιν δι' ἣν ὁ μῦθος τέτακται, προτάττων μὲν, ὀνομάσεις προμύθιον, ἐπιμύθιον δὲ τελευταῖον ἐπενεγκών.

Μῦθος ὁ τῶν μυρμήκων, καὶ τῶν τεττίγων, προτρέπων τοὺς νέους εἰς πόνους.



Ερους ἦν ἀκμή, καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον, τοῖς μύρμηξι δὲ πονεῖν ἐπῄει, καὶ συλλέγειν καρπούς, ἐξ ὧν ἔμελλον τοῦ χειμῶνος τραφήσεσθαι. χειμῶνος δὲ ἐπιγεγονότος, μύρμηκες μὲν οἷς ἐπόνουν ἐτρέφοντο, τοῖς δὲ ἡ τέρψις ἐτελεύτα πρὸς ἔνδειαν. οὕτω νεότης πονεῖν οὐκ ἐθέλουσα, παρὰ τὸ γῆρας κακοπραγεῖ.

Ex Anthonij sophistæ exercitamentis.



Abula profecta quidẽ est à poëtis, sed & rhetoribus cõmunis facta est admonendi gratia. Est aũt fabula sermo fictus, imagine quadam repræsentãs ueritatem. Atq; alia Sybaritica, alia Cilix, alia Cypria dicitur, accepto ab inuentoribus nomine. Verum quoniã Aesopus egregie præter cæteros cõscripsit fabulas, euicit ut potius Aesopia diceretur. Ea uero est triplex, Rationalis, Moralis, Mista. Rationalis, in qua aliquid ab homine geri cõfingit. Moralis, quę eorũ imitatur mores, quæ sunt rationis expertia. Mista uero, quæ rationale irrationaleq; cõplectitur. Eam aũt admonitionem cuius causa fabulam constitueris, Antefabulationem præpositam, postpositã uero Affabulationẽ dices.

Fabula qua formicarum & cicadarũ exemplo hortantur iuuenes ad laborem.



Icadæ olim ęstate assiduis cantibus indulgebant, formicę uero hyemis memores, laborib. fructibusq; colligendis operam dabant. Verũ cũ hyems aduenisset, formicę ijs, quę collegerant, pascebantur. Cicadas aũt delectatio illa, & canendi uoluptas, eò indigentiæ, miseriæq; perduxit, ut esurirent omnes, & fame conficerentur. Sic iuuentus laborum fugitans, male habet in senectute.

Ἐκ τῶν Φιλοστράτου εἰκόνων.

ΜΥΘΟΙ.



Οιτῶσιν οἱ μῦθοι παρὰ τὸν αἴσωπον, ἀγαπῶντες αὐτὸν, ὅτι αὐτῶν ἐπιμελεῖται. ἐμέλησε μὲν γὰρ καὶ ὁμήρῳ μύθου, καὶ ἡσιόδῳ. ἔτι δὲ καὶ ἀρχιλόχῳ πρὸς λυκάμβην. ἀλλ' αἰσώπῳ πάντα τὰ τῶν ἀνθρώπων ἐκμεμύθωται, καὶ λόγου τοῖς θηρείοις μεταδέδωκε, λόγου ἕνεκα. πλεονεξίαν τε γὰρ ἐπικόπτει, καὶ ὕβριν ἐλαύνει, καὶ ἀπάτην. καὶ ταῦτα λέων τις αὐτῷ ὑποκρίνεται, καὶ ἀλώπηξ καὶ ἵππος νὴ Δία, καὶ οὐδὲ ἡ χελώνη ἄφωνος. ὑφ' ὧν τὰ παιδία μαθηταὶ γίνονται τῶν τοῦ βίου πραγμάτων. εὐδοκιμοῦντες οὖν οἱ μῦθοι διὰ τὸν αἴσωπον, φοιτῶσιν ἐπὶ τὰς θύρας τοῦ σοφοῦ, ταινίαις αὐτὸν ἀναδήσοντες. καὶ στεφανώσοντες αὐτὸν θαλλοῦ στεφάνῳ. ὁ δὲ, οἶμαί τινα ὑφαίνει μῦθον. τὸ γὰρ μειδίαμα τοῦ προσώπου, καὶ οἱ ὀφθαλμοὶ, κατὰ τῆς γῆς ἑστῶτες, τοῦτο δηλοῦσιν. οἶδεν ὁ ζωγράφος, ὅτι αἱ τῶν μύθων φροντίδες, ἀνειμένης τῆς ψυχῆς δέονται. φιλοσοφεῖ δὲ ἡ γραφὴ καὶ τὰ τῶν μύθων σώματα, θηρεία συμβάλλουσα ἀνθρώποις, περιίστησι χορὸν τῷ αἰσώπῳ, ἐκ τῆς ἐκείνου σκηνῆς συμπλάσασα. κορυφαία δὲ τοῦ χοροῦ ἡ ἀλώπηξ γέγραπται. χρῆται γὰρ αὐτῇ ὁ αἴσωπος διακόνῳ τῶν πλείστων ὑποθέσεων, ὥσπερ ἡ κωμῳδία τῷ Δάῳ.

Ex Philostrati imaginibus

FABVLAE.



Abulæ ſe ad Aeſopum, ſua in eum beneuolentia cõferunt, qꝑ ſatagat ſui. fabula quippe & Homero, & Heſiodo, nec nõ & Archilocho in Lycambẽ curę fuit. ſed ab Aeſopo humana oĩa ad fabellas redacta ſunt, ſermone brutis non temere impertito. nam & cupiditatem tollit & libidinem inſectatur, & fraudem. Atqꝫ hæc ei leo quiſpiam agit, & uulpes, & per Iouẽ equus. nec teſtudo muta. ex quibus pueri diſcunt, quæ in uita gerantur. habentur igitur in pretio fabulæ propter Aeſopum. Accedunt ad ianuam docti huius, uittis eum deuincturæ, coronaqꝫ oleagina coronaturæ. hic ut puto fabulam aliquam texit. riſus enim faciei, & oculi in terrã defixi id præ ſe ferunt. pictorem, fabularum curas remiſſiore animo indigere, nõ latuit. Philoſophatur autem pictura & fabularum corpora. Bruta enĩ cum hominibus conferens, cœtum circa Aeſopum ſtatuit ex illius ſcena confictũ. Chori dux uulpes depicta eſt, Vtitur enim ea Aeſopus miniſtra argumentorum plurium, ceu Dauo Comœdia.

Ex Hermogenis exercitamentis, Prisciano interprete.

FAbula est oratio ficta, uerisimili dispositione imaginẽ exhibẽs ueritatis. Ideo autem hanc primã tradere pueris solẽt oratores, quia animos eorũ adhuc molles ad meliores facile uias rite instituunt. Vsi sunt ea tamẽ uetustissimi quoq; autores, ut Hesiodus, Archilochus, Horatius: Hesiodus quidem lusciniæ, Archilochus autẽ uulpis: Horatius muris. Nominantur autẽ ab inuentoribus fabularũ, aliæ Aesopiæ, aliæ Cypriẹ, aliæ Libycæ, aliẹ Sybariticæ, omnes autẽ cõmuniter Aesopiẹ dicuntur, quoniam in conuentibus frequenter solebat Aesopus fabulis uti. Mendacem quidẽ esse uolũt fabulam, sed ad uitam utilẽ, nec non & uerisimilem. Est autẽ uerisimilis, si res, quæ subiectis accidunt personis, apte reddantur: utputa de pulchritudine aliquis certat, pauo supponat̃ hic: oportet alicui astutiam tribuere, uulpecula est subijcienda: imitatores aliquos hominũ uolumus ostẽdere, hic simijs est locus. Oportet igitur modo breuiter, modo latius eas differere: quomodo autẽ hoc fiet? si nũc narratione simplici proferantur, nunc etiã sermo inductis fingatur personis: exempli causa: Simiẹ conuenerunt, et consiliũ habuerunt de urbe condenda, & quia placuit illis, paratæ erãt incipere ædificationẽ, sed uetus simia prohibuit ab incepto eas

eas, docens quod facile capiantur, si intra muros concludãtur. sic breuiter dices: si uelis producere, sic: Simię cōuenerunt, & cōsiliabantur de urbe cōdenda, quarũ una in mediũ ueniens cōcionata est, quia oportet ipsas quoq; ciuitatẽ habere. Videtis enim aiebat, q̃d ciuitatẽ habendo felices homines sint: domos etiã habẽt singuli & in concionẽ uniuersi, et in theatrum ascendẽtes delectãt animos spectationibus & auditionibus uarijs. Et sic proferes orationẽ in orando, dicẽs, et q̃d plebiscitũ scriptũ est, & finges etiam orationẽ ueteris simiæ. Expositio autem fabularũ uult circuitionib. carere, & iucũdior esse. Sed oratio, qua utilitas fabulæ retegitur, quã ἐπιμύθιον uocãt, quod nos affabulationem possumus dicere, à quibusdam prima, à plerisq; rationabilius postrema ponitur. Sciendum uero, quòd etiam oratores inter exempla solent fabulis uti.

Quas fabulas philosophia recipiat, quas item reijciat ex commentario Macrobij in somnium Scipionis.

FAbulę, quarum nomẽ indicat falsi professionem, aut tantũ conciliandę auribus uoluptatis, aut adhortationis quoq; in bonã frugem gratia repertæ sunt. Auditum mulcẽt, uelut comœdię, quales Menander, eius'ue imitatores agendas dederunt, uel argumenta fictis casibus amatorũ referta, quibus uel multum se Arbiter exercuit, uel Apuleiũ nonnunquam

lusisse miramur. Hoc totum fabularum genus quod solas auriũ delicias profitetur, è sacrario suo in nutricũ cunas sapientiæ tractatus elimi nat. Ex his aũt quę ad quandam uirtutũ speciẽ intellectũ legẽtis hortant̃, fit secunda discretio. In quibusdam eñ & argumentũ ex ficto loca- tur, & per mendacia ipse relationis ordo conte xit̃, ut sunt illæ Aesopię fabulæ elegãtia fictio- nis illustres. At in alijs argumentũ qdẽ funda- tur ueri soliditate, sed hęc ipsa ueritas per quę- dam cõposita & ficta profertur: & hæc iam uo catur narratio fabulosa, non fabula, ut cærimo niarum sacra Hesiodi & Orphei, quę de deorũ progeniæ actúue narrantur, ut mystica Pytha- goreorum sensa referunt. Ergo ex hac secunda diuisione, quam diximus, à Philosophiæ libris prior species, quæ concepta de falso per falsum narratur, aliena est. Sequẽs in aliã rursus discre tionem scissa diuiditur, Nam quũ ueritas argu mento subest, solaq; fit narratio fabulosa, non unus reperitur modus per figmentũ uera refe- rendi. Aut enim contextio narrationis per tur pia & indigna numinibus, ac monstro similia cõponitur, ut dei adulteri, Saturnus patris Cœ lij pudenda abscindens, & ipse rursus à filio re gno potito in uincula cõiectus, quod genus to tum philosophi nescire malunt. Aut sacrarum rerum notio sub pio figmentorũ uelamine, ho nestis & tecta rebus & uestita nominib. enun- ciatur

ciatur. Et hoc est ipsum figmenti genus, quod cautio de diuinis reb. philosophantis admittit.

Ex Auli Gellij libro secundo, capite undetrigesimo.

Apologus Aesopi Phrygis memoratu non inutilis.


AEsop9 ille è Phrygia fabulator haud immerito sapiens existimatus est, cum quę utilia monitu, suasuq; erant, non seuere, nō imperiose pręcepit & censuit, ut philosophis mos est, sed festiuos, delectabilesq; apologos commentus, res salubriter ac prospicienter animaduersas, in mentes animosq; hominum cum audiendi quadā illecebra induit: uelut hæc eius fabula de auiculæ nidulo lepide atq; iucunde pręmonet, spem fiduciamq; rerū, quas efficere quis possit, haud unq; in alio, sed in semetipso habendam. Auicula, inquit, est parua, nomē est Cassita, habitat nidulaturq; in segetibus, id fermè tēporis, ut appetat messis, pullis iamiam plumantibus. Ea Cassita in sementes forte concesserat tempestiuiores: propterea frumētis flauescentibus, pulli etiam tunc inuolucres erāt. Cum igitur ipsa iret cibū pullis quęsitū, monet eos, ut si quid ibi nouæ rei fieret, diceretur ue, animaduerterēt, idq; sibi, ubi redisset, renūcia=

rent. Dominus postea segetum illarum filium adolescentem uocat. Et uides ne, inquit, hæc ematuruisse, & manus iam postulare? Idcirco dic crastino, ubi primum diluculabit, fac amicos adeas, & roges ueniãt, operamq; mutuam dent, & messem hanc nobis adiuuent: hæc ille ubi dixit, discessit: atque ubi redit Cassita, pulli trepiduli circũstrepere, orareq; matrem, ut statim iam properet, atq; alium in locũ sese asportet: nam dominus, inquiũt, misit qui amicos rogaret, uti luce oriente ueniant, & metant. Mater iubet eos à metu ociosos esse. Si enim dominus, inquit, messem ad amicos reijcit, crastino seges non metetur, neq; necesse est, hodie uti uos auferam. Die igitur postero mater in pabulum uolat, dominus quos rogauerat, operitur: sol feruit, & fit nihil, et amici nulli erant. Tum ille rursum ad filiũ, amici isti, inquit, magnam in partem cessatores sunt. Quin potius imus, & cognatos, affinesq; nostros oramus, ut adsint cras tẽpori ad metẽdum? Itidem hoc pulli pauefacti matri nunciant. Mater hortatur, ut tum quoq; sine metu, ac sine cura sint: cognatos, affinesq; nullos fermè tã obsequibileis esse, ait, ut ad laborem capessendũ nihil cunctentur, & statim dicto obediãt: uos modo, inquit, aduertite, si modo quid denuo dicetur. Alia luce orta, auis in pastum profecta est: cognati, et affines operam, quam dare rogati sunt, superse
derunt

derũt. Ad postremũ igitur dominus filio; ualeant, inquit, amici cum propinquis. Afferes prima luce falces duas, unam egomet mihi, & tu tibi capies alteram, & frumentum nosmetipsi manibus nostris cras metemus. Id ubi ex pullis dixisse dominum mater audiuit, tẽpus, inquit, est cedẽdi & abeundi: fiet nũc dubio procul, quod futurum dixit. In ipso enim uertitur, cuia est res, non in alia, unde petitur. Atq; ita Cassita nidum migrauit, et seges à domino demessa est. Hæc quidẽ est Aesopi fabula de amicorũ et propinquorũ leui plerũq; & inani fiducia. Sed quid aliud sanctiores libri philosophorũ monent, q̃ ut in nobis tantũ ipsis nitamur: alia autẽ omnia quæ extra nos, extra nostrum animum sunt, neq; pro nostris, neq; pro nobis ducamus: Hũc Aesopi apologum Q. Ennius in satyris scite admodum, & uenuste uersibus quadratis composuit, quorũ duo postremi isti sunt, quos habere cordi, et memoriæ, operæprecium esse hercle puto.

Hoc erit tibi argumẽtũ semp in promptu sitũ,
Ne qd expectes amicos, q tu possis p te agere.

APOLOGI AESOPICI DE CASSITA FINIS.



ΟΜΗΡΟΥ

ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ



Ρχόμενος πρῶτον μουσῶν χορὸν ἐξ ἑλικῶνος
ἐλθεῖν εἰς ἐμὸν ἦτορ ἐπεύχομαι εἵνεκ' ἀοιδῆς,
ἣν νέον ἐν δέλτοισιν ἐμοῖς ἐπὶ γούνασι θῆκα,
δῆριν ἀπειρεσίην πολεμόκλονον ἔργον ἄρηος,
εὐχόμενος μερόπεσσιν ἐς οὔατα πᾶσι βαλέσθαι,
πῶς μύες ἐν βατράχοισιν κεισδύσαντες ἔβησαν,
γηγενέων ἀνδρῶν μιμούμενοι ἔργα γιγάντων,
ὡς λόγος ἐν θνητοῖσιν ἔην. τοίην δ' ἔχεν ἀρχήν.
Μῦς ποτὲ διψαλέος γαλέης κίνδυνον ἀλύξας,
πλησίον ἐν λίμνῃ ἁπαλὸν προσέθηκε γένειον
ὕδατι τερπόμενος μελιηδέϊ, τὸν δὲ κατεῖδε
λιμνόχαρις πολύφημος, ἔπος δ' ἐφθέγξατο τοῖον.
Ξεῖνε, τίς εἶ; πόθεν ἦλθες ἐπ' ἠόνα; τίς δέ σ' ὁ φύσας;
πάντα δ' ἀλήθευσον, μὴ ψευδόμενόν σε νοήσω.
εἰ γάρ σε γνοίην φίλον ἄξιον, ἐς δόμον ἄξω.
δῶρα δέ τοι δώσω ξεινήϊα πολλὰ καὶ ἐσθλά.
εἰμὶ δ' ἐγὼ βασιλεὺς φυσίγναθος, ὃς κατὰ λίμνην
τιμῶμαι, βατράχων ἡγούμενος ἤματα πάντα.
καί με πατὴρ πηλεὺς ποτὲ γείνατο ὑδρομεδούσῃ
μιχθεὶς ἐν φιλότητι παρ' ὄχθας ἠριδανοῖο.
καί σε ὁρῶ καλόν τε καὶ ἄλκιμον ἔξοχον ἄλλων

HOMERI

RANARVM ET MVRI VM PVGNA.



Ncipiens prtmum Musarum cœtum ex Helicone
Venire in meum cor supplico, gratia cantus
Quem nuper in libellis meis super genua posui,
Litem immensam, tumultuosum opus Martis,
Supplicans hominibus in aures omnibus mittere,
Quomodo mures in ranas principantes iuerunt,
Terrigenûm uirorum imitati opera gigantum.
Sic sermo inter mortales erat, tale autem habuit principium
Mus aliquando sitibundus felis periculum euitans,
Propinquum in lacum teneram adposuit barbam,
Aqua delectatus dulci, hunc autem uidit
Limnocharis obstrepera, uerbum autem locuta est tale. Λιμνό-
O hospes quis es? unde uenisti ad littus? quis autem te produxit? χαρις palude
Omnia autem uere dic, ne mendacem te intellexero. gaudens
Si enim te nouerim amicum dignum, ad domum ducam. φυσί-
Dona autem tibi dabo hospitalitia multa & bona. γναθος
Sum autem ego rex Physignathus, qui per lacum inflans
Color, ranarum dux dies omnes, maxillas
Et me pater Peleus olim genuit, Hydromedusæ Υδρομέ-
Mixtus in amore apud ripam Eridani, δουσα re-
Et te quidem uideo pulchrumq́; & fortem egregium aliorũ ginæ a-

σκηπτοῦχον βασιλῆα καὶ ἐν πολέμοισι μαχητὴν
ἔμμεναι. ἀλλ' ἄγε θᾶσσον ἑὴν γενεὴν ἀγόρευε,
Τὸν δ' αὖ Ψιχάρπαξ ἠμείβετο φώνησέν τε.
τίπτε γένος τοὐμὸν ζητεῖς φίλε δῆλον ἅπασιν,
ἀνθρώποις τε, θεοῖς τε, καὶ οὐρανίοις πετεηνοῖς;
Ψιχάρπαξ μὲν ἐγὼ κικλήσκομαι. εἰμὶ δὲ κοῦρος
Τρωξάρταο πατρὸς μεγαλήτορος. ἡ δέ νυ μήτηρ
Λειχομύλη θυγάτηρ Πτερνοτρώκτου βασιλῆος.
γείνατο δ' ἐν καλύβῃ με καὶ ἐξεθρέψατο βρωτοῖς,
σύκοις, καὶ καρύοις, καὶ ἐδέσμασι παντοδαποῖσι.
πῶς δὲ φίλον ποιῇ με, τὸν εἰς φύσιν οὐδὲν ὁμοῖον;
σοὶ μὲν γὰρ βίος ἐστὶν ἐν ὕδασιν, αὐτὰρ ἔμοι γε
ὅσσα παρ' ἀνθρώποις τρώγειν ἔθος, οὐδέ με λήθει
ἄρτος τρισκοπάνιστος ἀπ' εὐκύκλου κανέοιο,
οὐδὲ πλακοῦς τανύπεπλος ἔχων πολλὴν σισαμίδα,
οὐ τόμος ἐκ πτέρνης, οὐχ ἥπατα λευκοχίτωνα,
οὐδὲ τυρὸς νεόπηκτος ἀπὸ γλυκεροῖο γάλακτος.
οὐ χρηστὸν μελίτωμα, τὸ καὶ μάκαρες ποθέουσιν,
οὐδ' ὅσα πρὸς θοίνην μερόπων τεύχουσι μάγειροι,
κοσμοῦντες χύτρας ἀρτύμασι παντοδαποῖσιν.
οὐδέποτ' ἐκ πολέμοιο κακὴν ἀπέφυγον ἀϋτὴν,
ἀλλ' εὐθὺς μετὰ μῶλον ἰὼν, προμάχοισιν ἐμίχθην.
οὐ δέδι' ἄνθρωπον καί περ μέγα σῶμα φοροῦντα.
ἀλλ' ἐπὶ λέκτρον ἰὼν, ἄκρον δάκτυλον καταδάκνω,
καὶ πτέρνης λαβόμην, καὶ οὐ πόνος ἵκανεν ἄνδρα.
νήδυμος οὐκ ἀπέφυγεν ὕπνος, δάκνοντος ἐμοῖο.
ἀλλὰ δύω μάλα πάντα τὰ δείδια πᾶσαν ἐπ' αἶαν,
κίρκον καὶ γαλέην, οἵ μοι μέγα πένθος ἄγουσιν,
καὶ παγίδα στονόεσσαν, ὅπου δολόεις πέλε πότμος.

πλεῖστον

Sceptriferum regem, & in bellis pugnacem
Esse, sed age citius tuam generationem concionare.
Huic autem rursus Psicharpax respondit, dixitq;. Ψιχάρ-
Quid nam genus meũ perquiris ô amice manifestũ omnib. παξ, mi
Hominibusq; dijsq; & cœlestibus uolatilibus? carũ ra-
Psicharpax quidem ego uocor, sum autem filius ptor
Troxartæ patris magnanimi. at mater Τρω
Lichomyle filia Pternotroctæ regis. ξάρτου
Genuit autem in lignario me, & enutriuit cibarijs, uorantis
Ficubus & nucibus, & edulijs omni generis. panem
Quomodo aũt amicum facies me in naturam nihil similem? Λειχο-
Tibi quidem enim uita est in aquis, sed mihi certe μύλη,
Quæcunq; apud homines comedere cõsuetudo, neq; me latet lambens
Panis ter pistus à bene rotunda cista: molas
Neq; placenta extensa habens multam sisamida, Πτερνο-
Non sectio ex perna, non iecora albam uestem habentia, τρώκτα
Neq; caseus nuper pressus à suaui lacte, pernas
Non bonum dulcearium, quod & diui desiderant, uorantis
Neq; quæcunq; ad conuiuia hominum faciunt coci,
Ornantes ollas condimentis uarijs.
Nunquam ex bello malum effugi clamorem,
Sed statim ad pugnam iens propugnantibus mixtus sum.
Nõ timui hominem, & quamuis magnum corpus ferentem.
Sed ad lectum iens, summum digitum mordeo,
Et è pede accepi, & non labor occupauit uirum,
Suauis non aufugit somnus mordente me.
Sed duo ualde omnia timeo omnem per terram,
Accipitrem & felem, qui mihi magnum luctum adferunt,
Et decipulam gemituosam, ubi dolosum existit fatum.

Plurimum

πλεῖστον δὴ γαλέην περιδείδια, ἥτις ἀρίστη,
ἣ καὶ τρωγλοδύνοντα κατὰ τρώγλην ἐρεείνει.
οὐ τρώγω ῥαφάνας, οὐ κράμβας, οὐ κολοκύντας,
οὐ τεύτλοις χλωροῖς ἐπιβόσκομαι οὐδὲ σελίνοις.
ταῦτα γὰρ ὑμῶν ἐστιν ἐδέσματα τῶν κατὰ λίμνην.
πρὸς τάδε μειδήσας φυσίγναθος ἀντίον ηὔδα.

Ξεῖνε, λίαν αὐχεῖς ἐπὶ γαστέρι. ἔστι καὶ ἡμῖν
πολλὰ μάλ' ἐν λίμνῃ καὶ ἐπὶ χθονί, θαύματ' ἰδέσθαι.
ἀμφίβιον γὰρ ἔδωκε νομὴν βατράχοισι κρονίων,
σκιρτῆσαι κατὰ γῆν καὶ ἐφ' ὕδασι σῶμα καλύψαι.
εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, εὐχερές ἐστι.
αἴρω σ' ἐν νώτοισι. κράτει δέ με μή ποτ' ὄληαι,
ὅππως γηθόσυνος τὸν ἐμὸν δόμον εἰσαφίκηαι.
Ὣς ἄρ' ἔφη, καὶ νῶτ' ἐδίδου, ὁ δ' ἔβαινε τάχιστα
χεῖρας ἔχων ἁπαλοῖο κατ' αὐχένος ἅλματι κούφῳ.
καὶ πρῶτον μὲν ἔχαιρεν, ὅτ' ἔβλεπε γείτονας ὅρμας
νήξει τερπόμενος φυσιγνάθου. ἀλλ' ὅτε δὴ ῥα
κύμασι πορφυρέοις ἐπεκλύζετο, πολλὰ δακρύων,
ἄχρηστον μετάνοιαν ἐμέμφετο. τίλλε δὲ χαίτας,
καὶ πόδας ἔσφιγγεν κατὰ γαστρός. ἐν δέ οἱ ἦτορ
πάλλετ' ἀηθείῃ, καὶ ἐπὶ χθόνα βούλετ' ἰδέσθαι.
δεινὰ δ' ὑπεστονάχιζε, φόβου κρυόεντος ἀνάγκη.
οὐρὴν μὲν πρῶτ' ἔπλασ' ἐφ' ὕδασιν ἠύτε κώπην
σύρων, εὐχόμενος τε θεοῖς ἐπὶ γαῖαν ἱκέσθαι,
ὕδασι πορφυρέοισιν ἐκλύζετο. πολλὰ δ' ἐβόα,
καὶ τοῖον φάτο μῦθον, ἀπὸ στόματος δ' ἀγόρευεν.

Οὐχ οὕτω νώτοισιν ἐβάστασε φόρτον ἔρωτος
ταῦρος, ὅτ' Εὐρώπην διὰ κύματος ἦγ' ἐπὶ Κρήτην,
ὡς ἔμ' ἐπιπλώσας ἐπινώτιον ἤγαγεν εἰς οἶκον

Βατρα-

Plurimum iam felem ſupertimeo, qui optimus,
Qui & foramen ingredientem per foramen perquirit.
Non comedo raphanos,non caules,non cucurbitas,
Non porris uiridibus paſcor,ne apijs.
Hæc enim ueſtra ſunt edulia per lacum.
Ad hæc aũt ſubridens Phyſignathus contrà locutus eſt.
O hoſpes ualde gloriaris ob uentrem,adſunt & nobis
Multa ualde in lacu & in teera mirabilia uiſu,
Vtriuitam enim dedit paſcuam ranis Saturnius Iupiter,
Exultare per terram,& in aquis corpus cooperire.
Si autem uis & hæc ſcire, facile eſt
Portem te in humeris:tene autem,ne aliquando pereas,
Sic gauiſus in meam domum uenias.
Sic certe inquit,& terga dat:ille aũt aſcendebat uelociter
Manus habens tenerum per collum,ſaltu facili.
Et in primis qdẽ gaudebat, quãdo intuebatur uicinos portus
Natatione gaudẽs Phyſignathi: ſed quando iam utiq;
Vndis purpureis ſubmergebatur:multum lachrymabatur
Inutilem pœnitentiam accuſabat: uellebat autem comas,
Et pedes ſtringebat per uentrem:in illo autem cor
Concutiebatur inſolentia,& in terram uolebat uidere.
Vehementer autem ingemiſcebat timoris frigidi neceſſitate.
Caudam quidẽ in primis extendit in aquis, tanquam remum
Trahens.ſupplicansq́; deis in terram uenire,
Aquis purpureis ſubmergebatur: multum autem clamabat,
Et talem dixit ſermonem, ab ore autem concionabatur.
Non ſic humeris portauit onus amoris
Taurus quando Europam per undam duxit in Cretam,
Vt me nauigans ſuper humeralem duxit ad domum

Βάτραχος ὑψώσας ὠχρὸν δέμας ὕδατι λευκῷ,
ὕδρος δ' ἐξαπίνης ἀνεφαίνετο δεινὸν ὅραμα
ἀμφοτέροις. ὀρθὸν δ' ὑπὲρ ὕδατος ἔχε τράχηλον.
τοῦτον ἰδὼν κατέδυ φυσίγναθος, οὔτι νοήσας
οἷον ἑταῖρον ἔμελλεν ἀπολλύμεναι κατὰ λίμνην.
δῦ δὲ βάθος λίμνης, καὶ ἀλεύατο κῆρα μέλαιναν.
κεῖνος δ' ὡς ἀφέθη, πέσεν ὕπτιος εὐθὺς ἐν ὕδωρ.
χεῖρας δ' ἔσφιγγεν, καὶ ἀπολλύμενος κατέτριζε.
πολλάκι μὲν κατέδυνεν ἐφ' ὕδατι, πολλάκι δ' αὖτε
λακτίζων ἀνέδυνε, μόρον δ' οὐκ ἦν ὑπαλύξαι.
δευόμεναι δὲ τρίχες πλεῖστον βάρος εἷλκον ἐπ' αὐτῷ,
ὕδασι δ' ὀλλύμενος, τοίους ἐφθέγξατο μύθους.

Οὐ λήσεις γε θεοὺς φυσίγναθε ταῦτα ποιήσας,
ναυηγὸν ῥίψας ἀπὸ σώματος ὡς ἀπὸ πέτρης.
οὐκ ἄν μου κατὰ γαῖαν ἀμείνων ἦσθα κάκιστε.
παγκρατίῳ τε, πάλῃ τε, καὶ εἰς δρόμον, ἀλλὰ πλανήσας
εἰς ὕδωρ μ' ἔρριψας, ἔχει θεὸς ἔκδικον ὄμμα:
ποινὴν σὺ τίσεις μυῶν στρατῷ, οὐδ' ὑπαλύξεις

Ταῦτ' εἰπὼν, ἀπέπνευσεν ἐν ὕδασι, τὸν δὲ κατεῖδε
λειχοπίναξ, ὄχθῃσιν ἐφεζόμενος μαλακῇσι.
δεινὸν δ' ἐξολόλυξε, δραμὼν δ' ἤγγειλε μύεσσιν.
ὡς δ' ἔμαθον τὴν μοῖραν, ἔδυ χόλος αἰνὸς ἅπαντας.
καὶ τότε κηρύκεσσιν ἑοῖς ἐκέλευσαν ὑπ' ὄρθρον
κηρύσσειν ἀγορὴν δ' ἐν δώματα τρωξάρταο
πατρὸς δυστήνου ψιχάρπαγος, ὃς κατὰ λίμνην
ὕπτιος ἐξήπλωτο νεκρὸν δέμας, οὐδὲ παρ' ὄχθαις
ἦν ἤδη τλήμων, μέσσῳ δ' ἐπενήχετο πόντῳ.
ὡς δ' ἦλθον σπεύδοντες ἅμ' ἠοῖ, πρῶτος ἀνέστη
τρωξάρτης ἐπὶ παιδὶ χολούμενος, εἶπέ τε μῦθον.

ὦ φίλοι

Rana, eleuans pallidum corpus aqua alba.
Hydrus aũt ex improuiso apparebat, horrendũ spectaculum
Vtrisq;, erectum super aquam habebat collum.
Hunc uidens ingressus est Physignathus, nõ quicq̃ intelligẽs
Qualem socium futurus erat perdere per lacum.
Ingressus est aũt profunditatẽ lacus, & euitauit parcã nigrã
Ille autem ut relictus est, cecidit supinus statim in aquam.
Manus autem stringebat, & moriens stridebat.
Sæpe quidem ingrediebatur in aquam, sæpe autem rursus
Calcitrans egrediebatur, mortem autem non erat euitare.
Madentes autem pili plurimum pondus trahebant in ipso
Aquis autem periens, tales loquutus est sermones.
Non latebis utiq; deos Physignathe hæc faciens,
Naufragum iaciens à corpore ut à petra.
Non certe me per terram melior ô pessime,
Pancratioq; luctaq;, & ad cursum, sed decipiens
In aquam me proiecisti, habet deus iustum oculum:
Pœnam tu solues murium exercitui, neq; euitabis.
Hæc locutus expirauit in aquis: hunc autem uidit
Lichopinax, ripis insidens mollibus,
Vehementer aũt ululauit, currens aũt annunciauit muribus.
Vt aũt didicerunt mortẽ, ingressa est ira pniciosa uniuersos,
Et tunc præconibus suis iusserunt, sub diluculum
Proclamare ad concionem in domos Troxartæ
Patris infelicis Psicharpagis qui per lacum
Supinus natabat mortuum corpus, neq; iuxta ripas
Erat iam miser, medio autem natabat ponto.
Vt autem uenerunt festinantes cum aurora, primum surrexit
Troxartes ob filium iratus, dixitq; sermonem.

Λειχοπί-ναξ lambens quadras

O ami-

ὦ φίλοι, εἰ καὶ μοῦνος ἐγὼ κακὰ πολλὰ πέπονθα
ἐκ βατράχων. ἡ μοῖρα κακὴ πάντεσσι τέτυκται.
εἰμὶ δ' ἐγὼ δύστηνος, ἐπεὶ τρεῖς παῖδας ὄλεσσα.
καὶ τὸν μὲν πρῶτόν γε κατέκτανεν ἁρπάξασα
ἐχθίστη γαλέη τρώγλης ἔκτοσθεν ἑλοῦσα.
τὸν δ' ἄλλον πάλιν ἄνδρες ἀπηνέες ἐς μόρον ἦξαν,
καινοτέραις τέχναις ξύλινον δόλον ἐξευρόντες,
ἣν παγίδα καλέουσι μυῶν ὀλέτειραν ἐοῦσαν.
ὁ τρίτος ἦν ἀγαπητὸς ἐμοὶ καὶ μητέρι κεδνῇ,
τοῦτον ἀπέπνιξεν φυσίγναθος ἐς βυθὸν ἄξας.
ἀλλ' ἄγεθ' ὁπλισόμεσθα, καὶ ἐξέλθωμεν ἐπ' αὐτοὺς,
σώματα κοσμήσαντες ἐν ἔντεσι δαιδαλέοισι.

Ταῦτ' εἰπὼν, ἀνέπεισε καθοπλίζεσθαι ἅπαντας.
καὶ τοὺς μὲν ῥ' ἐκόρυσσεν ἄρης πολέμοιο μεμηλώς.
κνημῖδας μὲν πρῶτα ποσὶν κνήμησιν ἔθηκαν,
ῥήξαντες κυάμους χλωροὺς, εὖ τ' ἀσκήσαντες,
οὓς αὐτοὶ διὰ νυκτὸς ἐπιστάντες κατέτρωξαν.
θώρηκας δ' εἶχον καλαμοστεφέων ἀπὸ βυρσῶν,
οὓς, γαλέην δείραντες ἐπισταμένως ἐποίησαν.
ἀσπὶς δ' ἦν λύχνου τὸ μεσόμφαλον. ἡ δέ νυ λόγχη,
εὐμήκεις βελόναι, παγχάλκεον ἔργον ἄρηος.
ἡ δὲ κόρυς, τὸ λέπυρον ἐπὶ κροτάφοισι καρύου.
οὕτω μὲν μύες ἦσαν ἔνοπλοι, ὡς δ' ἐνόησαν
βάτραχοι, ἐξανέδυσαν ἀφ' ὕδατος εἰς δ' ἕνα χῶρον
ἐλθόντες, βουλὴν ξύναγον πολέμοιο κακοῖο.
σκεπτομένων δ' αὐτῶν πόθεν ἡ στάσις, ἢ τίς ὁ θρύλλος,
κῆρυξ ἐγγύθεν ἦλθε φέρων σκῆπτρον μετὰ χερσὶ,
τυρογλύφου υἱὸς μεγαλήτορος ἐμβασίχυτρος
ἀγγέλλων πολέμοιο κακὴν φάτιν, εἶπέ τε μῦθον.

Ω Βα-

O amici, tametsi solus ego mala multa passus
Ex ranis, sors mala omnibus facta est.
Sum autem ego infelix, postquàm treis filios perdidi.
Et quidem primum utiq; occidit rapiens
Inimicissimus felis, foramen extra capiens.
Alium autem rursus uiri crudeles ad mortem duxerunt
Vanioribus artibus ligneum dolum inuenientes,
Quam decipulam uocant murium perditricem existentem.
Qui tertius erat dilectus mihi & matri inclytæ.
Hunc suffocauit Physignathus in profundum ducens.
Sed agedum armemur. & exeamus in ipsas,
Corpora ornantes in armis uarijs.
Hæc locutus persuasit armari uniuersos.
Hos quidem utiq; armauit Mars belli curam habens.
Tibiaria arma quidem primum circa tibias posuerunt,
Frangentes fabas uirides, beneq; aptantes,
Quas ipsi per noctem stantes comederunt.
Thoraces autem habebant calamis circundatis à corijs
Quos felem excoriantes scienter fecerunt.
Clypeus aũt erat lucernæ medius umbilicus: at certe lancea
Longæ acus, omnino æreum opus Martis, Τυροΐλύ-
At cassis testa in temporibus nucis. φυ, ex
Sic quidem mures erant armati: ut autem intellexerunt cauato-
Ranæ, egressæ sunt ab aqua, in unum locum ris caseo
Venientes, consilium congregauerunt belli mali. rum
Considerantibus aũt ipsis unde seditio, uel quis tumultus, Ἐμβασί
Præco propè uenit, ferens sceptrum in manibus, χυτρος
Tyroglyphi filius magnanimi Embasichytros. in ollas
Nuncians belli famam, dixitq; sermonem: irrepẽs.

s O ranæ

Ὦ βάτραχοι, μύες ὔμμιν ἀπειλήσαντες ἔπεμψαν
εἰπεῖν ὁπλίζεσθαι ἐπὶ πόλεμόν τε μάχην τε.
εἶδον γὰρ καθ' ὕδωρ Ψιχάρπαγα, ὅν κατέπεφνεν
ὑμέτερος βασιλεὺς Φυσίγναθος, ἀλλὰ μάχεσθε
οἵ τινες ἐν βατράχοισιν ἀριστῆες γεγάατε.
Ὡς εἰπὼν ἀπέφηνε. λόγος δ' εἰς οὔατα μυῶν
εἰσελθὼν ἐτάραξε φρένας βατράχων ἀγερώχων.
μεμφομένων δ' αὐτῶν Φυσίγναθος εἶπεν ἀναστάς.
Ὦ φίλοι, οὐκ ἔκτεινον ἐγὼ μῦν, οὐδὲ κατεῖδον
ὀλλύμενον. πάντως ἐπνίγη παίζων παρὰ λίμνην,
νήξεις τὰς βατράχων μιμούμενος. οἱ δὲ κάκιστοι
νῦν ἐμὲ μέμφονται τὸν ἀναίτιον. ἀλλ' ἄγε βουλὴν
ζητήσωμεν, ὅπως δολίους μύας ἐξολέσωμεν.
τοὶ γὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
σώματα κοσμήσαντες, ἐν ὅπλοις στῶμεν ἅπαντες,
ἄκροις πὰρ χείλεσιν ὅπου κατάκρημνος ὁ χῶρος.
ἡνίκα δ' ὁρμηθέντες ἐφ' ἡμέας ἐξέλθωσι,
δραξάμενοι κορύθων, ὅς τις σχεδὸν ἀντίος ἔλθοι,
ἐς λίμνην αὐτοὺς σὺν ἔντεσιν εὐθὺ βάλωμεν.
οὕτω γὰρ πνίξαντες ἐν ὕδασι τοὺς ἀκολύμβους,
στήσομεν εὐθύμως τὸ μυοκτόνον ὧδε τρόπαιον.
Ὡς ἄρα φωνήσας, ὅπλοις ἐνέδυσεν ἅπαντας.
φύλλοις μὲν μαλαχῶν κνήμας ἑὰς ἀμφεκάλυψαν.
θώρηκας δ' εἶχον χλοερῶν πλατέων ἀπὸ τεύτλων.
φύλλα δὲ τῶν κραμβῶν εἰς ἀσπίδας εὖ ἤσκησαν.
ἔγχος δ' ὀξύσχοινος ἑκάστῳ μακρὸς ἀρήρει,
καὶ κόρυθες κοχλιῶν λεπτῶν κάρα τ' ἀμφεκάλυπτον.
φραξάμενοι δ' ἔστησαν ἐπ' ὄχθαις ὑψηλῇσι,
σείοντες λόγχας, θυμοῦ δ' ἔμπλητο ἕκαστος.

Ζεὺς

Ò ranæ, mures uobis minitantes miserunt
Dicere armari ad bellum pugnamq;.
Viderunt enim per aquam Psicharpaga, quem occidit
Vester rex Physignathus. sed pugnate
Quæcunq; inter ranas egregiæ genitæ estis.
Sic locutus disparuit, sermo autem in aures murium
Ingrediens, conturbauit mentes ranarum superbarum.
Accusantibus autem ipsis Physignathus dixit surgens.
O amici, non occidi ego murem, neq; uidi
Pereuntem, omnino suffocatus est ludens iuxta lacum,
Natatus ranarum imitatus, at pessimi
Nunc me accusant inculpabilem, sed age consilium
Inquiramus, ut dolosos mures deperdamus.
Etenim ego dico, ut mihi apparent esse optima,
Corpora ornantes armati stemus uniuersi
Summas iuxta ripas, ubi præceps locus.
Quando autem impetum facientes in nos, uenerint
Accipientes à galeis quicunq; prope obuius uenerit.
In lacum ipsos cum armis statim deijciamus.
Sic enim suffocantes in aquis experteis natandi
Constituemus statim murium occisorum hic trophæum,
Sic certe loquutus, armis induit uniuersos.
Folijs quidem maluarum tibias suas circumcooperierunt.
Thoraces autem habuerunt uiridibus latis à corijs.
Folia autem caulium in clypeos bene aptauerunt.
Lancea autem acutus iuncus unicuiq; longus aptatus erat.
Et galeæ cochleis subtilibus capita circumcooperiebant.
Circundantes autem steterunt in ripis altis
Conquassantes lanceas, animo autem plenus erat unusquisq;

Ζεὺς δὲ θεοὺς καλέσας εἰς οὐρανὸν ἀστερόεντα,
καὶ πολέμου πληθὺν δείξας κρατερούς τε μαχητὰς
πολλοὺς καὶ μεγάλους, ἠδ' ἔγχεα μακρὰ φέροντας,
οἷος κενταύρων στρατὸς ἔρχεται ἠδὲ γιγάντων,
ἡδὺ γελῶν ἐρέεινε. τίνες βατράχοισιν ἀρωγοί,
ἢ μυσὸν ἀθανάτων; καὶ ἀθηναίην προσέειπεν.
Ὦ θύγατερ, μυσὶν ἦρ' ἐπαλεξήσουσα πορεύσῃ;
καὶ γὰρ σοῦ κατὰ νηὸν ἀεὶ σκιρτῶσιν ἅπαντες,
κνίσῃ τερπόμενοι, καὶ ἐδέσμασιν ἐκ θυσιάων.
Ὣς ἄρ' ἔφη κρονίδης, τὸν δὲ προσέειπεν ἀθήνη.
ὦ πάτερ, οὐκ ἄν πώποτ' ἐγὼ μυσὶ τειρομένοισιν
ἐλθοίμην ἐπαρωγὸς, ἐπεὶ κακὰ πολλά μ' ἔοργαν,
στέμματα βλάπτοντες, καὶ λύχνους εἵνεκ' ἐλαίου.
τοῦτο δέ μου λίην ἔδακε φρένας, οἷον ἔρεξαν.
πέπλον μου κατέτρωξαν ὃν ἐξύφηνα καμοῦσα
ἐκ ῥοδάνης λεπτῆς, καὶ στήμονα λεπτὸν ἔνησα.
τρώγλας τ' ἐμποίησαν, ὁ δ' ἠπητής μοι ἐπέστη.
καὶ πράσσει με τόκους, τοῦτο χάριν ἐξώργισμαι.
χρησαμένη γὰρ ὕφηνα, καὶ οὐκ ἔχω ἀνταποδοῦναι.
ἀλλ' οὐδ' ὣς βατράχοισι ἀρηγέμεν οὐκ ἐθελήσω.
εἰσὶ γὰρ οὐδ' αὐτοὶ φρένας ἔμπεδοι. ἀλλά με πρῴην
ἐκ πολέμου ἀνιοῦσαν, ἐπεὶ λίην ἐκοπώθην
ὕπνου δευομένην οὐκ εἴασαν θορυβοῦντες
οὐδ' ὀλίγον καταμῦσαι. ἐγὼ δ' ἄυπνος κατεκείμην
τὴν κεφαλὴν ἀλγοῦσα, ἕως ἐβόησεν ἀλέκτωρ.
ἀλλ' ἄγε παυσώμεθα θεοὶ τούτοισιν ἀρήγειν,
μή κέ τις ὑμμείων τρωθῇ βέλει ὀξυόεντι.
εἰσὶ γὰρ ἀγχέμαχοι, καὶ εἰ θεὸς ἀντίος ἔλθοι.
πάντες δ' οὐρανόθεν τερπώμεθα δῆριν ὁρῶντες.

Ὣς

Iupiter autem deos uocans in cœlum astriferum,
Et belli multitudinem ostendens, potentesq; pugnatores
Multos & magnos, & lanceas longas ferentes,
Qualis centaurorum exercitus procedit & Gigantum
Suauiter ridens interrogabat, qui ranis auxiliatores
Vel muribus, immortalium? & Palladem allocutus est,
O filia, muribus nunquid auxiliatura ibis?
Etenim tuum per templũ semper exultant uniuersi mures,
Odore delectati & cibarijs ex sacrificijs.
Sic certe dixit Saturnius. hunc aũt allocuta est Pallas.
O pater, non certe unquam ego muribus consumptis
Venirem auxiliatrix, quoniam mala multa mihi fecerunt,
Coronas destruentes, & lucernas causa olei,
Hoc autem meas ualde momordit mentes quale fecerunt.
Peplum meum corroserunt, quod texui laborans
Ex trama subtili & stamen subtile neui
Foraminaq; fecerunt: at sutor mihi institit,
Exigit à me usuras: huius gratia irata sum.
Mutuata enim subtextum, & non habeo restituere.
Sed neq; sic ranis auxiliari non uelim.
Sunt enim neq; ipsæ mentibus firmæ, sed me recens
Ex bello redeuntem, postquam ualde defatigata fui,
Somno indigentem non permiserunt tumultuantes
Neq; parum oculos conniuere: ego aũt insomnis iacebam
Caput dolens, donec clamauit gallus gallinaceus.
Sed age cessemus dei ijs auxiliari,
Ne utiq; aliquis ũestrum uulneretur telo acuto.
Sunt enim cominus pugnantes, etiam si deus contrà ueniret.
Omnes autem de cœlo delectemur litem uidentes.

Ὣς ἄρ' ἔφη. τῷ δ' αὖτε πεπείθοντο θεοὶ ἄλλοι
πάντες. ὁμῶς δὲ ἀολλέες ἤλυθον εἰς ἕνα χῶρον.
κάδ δ' ἦλθον κήρυκε τέρας πολέμοιο φέροντε.
καὶ τότε κώνωπες μεγάλας σάλπιγγας ἔχοντες,
δεινὸν ἐσάλπιζον πολέμου κτύπον. οὐρανόθεν δὲ
ζεὺς κρονίδης βρόντησε τέρας πολέμοιο κακοῖο.
Πρῶτος δ' ὑψιβόας λειχήνορα οὔτασε δουρὶ
ἑσταότ' ἐν προμάχοις κατὰ γαστέρα εἰς μέσον ἧπαρ,
κάδ δ' ἔπεσεν πρηνής, ἁπαλὰς δ' ἐκόνισεν ἐθείρας.
τρωγλοδύτης δὲ μετ' αὐτὸν ἀκόντισε πηλείωνα,
πῆξεν δ' ἐν στέρνῳ στιβαρὸν δόρυ, τὸν δὲ πεσόντα
εἷλε μέλας θάνατος, ψυχὴ δ' ἐκ σώματος ἔπτη.
σευτλαῖος δ' ἄρ' ἔπεφνε βαλὼν κέαρ ἐμβασίχυτρον.
ἀρτοφάγος δὲ πολύφωνον κατὰ γαστέρα τύψεν,
ἤριπε δὲ πρηνής, ψυχὴ δὲ μελέων ἐξέπτη.
λιμνόχαρις δ' ὡς εἶδεν ἀπολλύμενον πολύφωνον,
τρωγλοδύτην πέτρῳ μυλοειδέϊ πρόσθεν ὑποφθὰς,
αὐχένα πὰρ μέσσον. τὸν δὲ σκότος ὄσσ' ἐκάλυψεν.
λειχήνωρ δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
καὶ βάλεν, οὐδ' ἀφάμαρτε, κατ' ἧπαρ. ὡς δ' ἐνόησε
κραμβοφάγος ὄχθαισι βαθείαις ἔμπεσε φεύγων,
ἀλλ' οὐδ' ὡς ἀπέληγεν ἐν ὕδασιν, ἤλασε δ' αὐτὸν,
ἀνέπνευσεν κάππεσε δ' οὐκ ἀνένευσεν, ἐβάπτετο δ' αἵματι λίμνη
πορφυρέῳ. αὐτὸς δὲ παρ' ἠιόν' ἐξετανύσθη.
χορδῇσι, λιπαρῇσί τ', ἐπορνύμενος λαγόνεσσιν.
λιμνήσιος δ' ὄχθαι τυρόγλυφον ἐξενάριξε.
πτερνογλύφον δὲ ἰδὼν καλαμίνθιος, εἰς φόβον ἦλθεν
ἥλατο δ' ἐς λίμνην φεύγων, τὴν ἀσπίδα ῥίψας.
ὑδρόχαρις δέ τε πέφνε πτερνοφάγον βασιλῆα,

χερμα-

Vt certe dixit, huic autem pòst paruerunt dei alij.
Omnes simul autem collecti uenerunt in unum locum.
At uenerunt præcones duo, signum belli ferentes.
Et tunc culices magnas tubas habentes,
Vehementer tuba clangebant belli strepitum. cœlitus autem
Iupiter Saturnius intonuit signum belli mali.
Primus autem alte clamans Lichenorem uulnerauit lancea
Stantem inter propugnatores per uentrem in medium epar.
Concidit autē pronus, teneras autē puluerulētas ferit comas
Troglodytes autem post ipsum iaculatus est Peliona.
Infixit autē in pectore solidam lanceā. hunc autem cadentem
Cepit nigra mors. anima autem ex corpore euolauit.
Seutlæus autem utiq; occidit percutiens cor Embasichytrum
Artophagus autem Polyphonum per uentrem percussit.
Cecidit autem supinus, anima autem membris euolauit.
Lymnocharis autem ut uidit pereuntem Polyphonum,
Troglodyten petra molari uulnerauit anticipans
Collum iuxta medium. huic autem caligo oculos cooperuit.
Lichenor autem ipsius concutiebatur lancea lucida.
Et percussit, neq; aberrauit, per epar. ut autem intellexit
Crambophagus, ripis profundis incidit fugiens.
Sed neq; sic cessauit in aquis, impulit autem ipsum.
Concidit autē, non respirauit. tingebatur autē sanguine lacus
Purpureo, ipse autem iuxta littus extensus est,
Venis pinguibus incitatus intestinis
Lymnesius autem in ripis Tyroglyphum spoliauit.
Pternoglyphum autem uidēs Calaminthius in timorē uenit.
Saltauit autem in lacum fugiens clypeum iaciens.
Hydrocharis autem occidit Pternophagum regem,

λειχήνωρ à lambenda cauda τρωγλοδύτης ingrediēs foramina Σευτλαῖος, à beta uel porro ἀρτοφάγος pani uorus πολύφωνον, multi uocam κραμβοφάγος, uorans caules τυρογλύφος cauator caseorum

Calaminthius à calamintha herba, quam nepita dicunt.

χερμαδίῳ πλήξας κατὰ βρέγματος. ἐγκέφαλος δὲ
ἐκ ῥινῶν ἔσταζε. παλάσσετο δ' αἵματι γαῖα.
λειχοπίναξ δ' ἔκτεινεν ἀμύμονα βορβοροκοίτην
ἔγχει ἐπαΐξας. τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
πρασοφάγος δ' ἐσιδὼν, ποδὸς εἵλκυσε κνισοδιώκτην
ἐν λίμνῃ δ' ἀπέπνιξε κρατήσας χειρὶ τένοντα.
ψιχάρπαξ δ' ἤμυν' ἑτάρων περὶ τεθνηώτων,
καὶ βάλε πηλούσιον κατὰ νηδύος εἰς μέσον ἧπαρ.
πίπτε δέ οἱ πρόσθεν, ψυχὴ δ' ἀϊδόσδε βεβήκει.
πηλοβάτης δ' ἐσιδὼν, πηλοῦ δράκα ῥίψεν ἐπ' αὐτὸν,
καὶ τὸ μέτωπον ἔχρισε, καὶ ἐξετύφλου παρὰ μικρόν.
θυμώθη δ' ἄρα κεῖνος, ἑλὼν δέ γε χειρὶ παχείῃ
κείμενον ἐν πεδίῳ λίθον ὄβριμον ἄχθος ἀρούρης,
τῷ βάλε πηλοβάτην ὑπὸ γούνατα. πᾶσα δ' ἐκλάσθη
κνήμη δεξιτερή. πέσε δ' ὕπτιος ἐν κονίῃσι.
κραυγασίδης δ' ἤμυνε, καὶ αὖθις βαῖνεν ἐπ' αὐτὸν,
τύψε μέσην δ' αὐτὸν κατὰ γαστέρα. πᾶς δέ οἱ εἴσω
ὀξύσχοινος δῦνε. χαμαὶ δ' ἔκχυντο ἅπαντα
ἔγκατ' ἐφελκομένῳ ὑπὸ δούρατι χειρὶ παχείῃ,
σιτοφάγος δ' ὡς εἶδεν ἐπ' ὄχθῃσιν ποταμοῖο
σκάζων ἐκ πολέμου ἀνεχάζετο, τείρετο δ' αἰνῶς.
ἧλατο δ' ἐς τάφρον, ὅππως φύγῃ αἰπὺν ὄλεθρον.
τρωξάρτης δ' ἔβαλεν φυσίγναθον ἐς πόδα ἄκρον.
ὦκα δὲ τειρόμενος ἐς λίμνην ἥλατο φεύγων.
τρωξάρτης δ' ὡς εἶδεν ἔθ' ἡμίπνουν προπεσόντα,
καί οἱ ἐπέδραμεν αὖθις ἀποκτάμεναι μενεαίνων.
πρασσαῖος δ' ὡς εἶδεν ἔθ' ἡμίπνουν προπεσόντα,
ἦλθε διὰ προμάχων, καὶ ἀκόντισεν ὀξέϊ σχοίνῳ.
οὐδ' ἔρρηξε σάκος. σχέτο δ' αὐτοῦ δουρὸς ἀκωκή.

Saxo percutiens per guttur: cerebrum autem
Ex naribus stillabat, polluebatur autem sanguine terra.
Lichopinax autem occidit irreprehensibilē Borborocœtem
Lancea impetum faciens: obscuritas autem oculos cooperuit.
Prassiphagus autem uidens pede traxit Cnissodioctem
In lacu autem suffocauit tenens manu neruum.
Psicharpax autem ultus est socijs mortuis,
Et percussis Pelusium *per uentrem in medium epar.*
Cecidit autem illi ante: anima autem ad infernum iuit.
Pelobates autem uidens, luti manipulum iecit in ipsum.
Et frontem inunxit, & excæcabatur propemodum.
Iratus est autem certe ille capiens utiq; manu forti
Iacentem in campo lapidem ponderosum pondus terræ,
Hoc percussit Pelobatem sub genua: tota autem fracta est
Tibia dextra: cecidit autem supinus in pulueribus.
Craugasides autem ultus est. & rursus ibat in ipsum,
Percussit medium aūt ipsum per uentrem, totus autē ei intro
Acutus iuncus ingrediebatur: humi autem effundebantur uni
Intestina, extracta à lancea manu graui. (uersa
Sitophagus autem ut uidit in ripis fluminis,
Claudicans ex bello recedebat, consumebatur autem ualde.
Saltauit autem in fossam, ut aufugeret diram perniciem.
Troxartes aūt percussit Physignathum *in pedis summitatē.*
Celeriter autem consumptus in lacum saltauit fugiens,
Troaxartes aūt ut uidit adhuc semiuiuum, qui ante ceciderat
Et illi incurrit rursus occidere desiderans.
Prassæus autem ut uidit adhuc semiuiuum, qui ante ceciderat
Venit per propugnatores, & iaculatus est acuto iunco,
Neq; fregit scutum, tenebatur autem ipsius lanceæ acies.

Βορβορο-
κοίτην,
in cœno
iacentē
πρασσο
φάγος
edens
porrum
κνισσο/
διώκτην
nidorū
sectatorē
πηλοβά
της, *plu*
tum ince
dens
κραυγα
σίδης,
caulium
speciem
referens
σιτοφά
γος, *ci/*
bos absu-
mēs

ἦν δέ τις ἐν μύεσσι νέος παῖς ἔξοχος ἄλλων,
ἀγχέμαχος φίλος υἱὸς ἀμύμονος Ἀρτεπιβούλου
ὄρχαμος αὐτὸν Ἄρη φαίνων κρατερὸς Μεριδάρπαξ.
ὃς μόνος ἐν μύεσσιν ἀριστεύεσκε μάχεσθαι.
στῆ δὲ παρὰ λίμνην γαυρούμενος οἶος ἀπ' ἄλλων,
στεῦτο δὲ πορθήσειν βατράχων γένος αἰχμητάων.
καὶ νύ κεν ἐξετέλεσσεν, ἐπεὶ μέγα οἱ σθένος ἦεν,
εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε,
καὶ τότ' ἀπολλυμένους βατράχους ᾤκτειρε Κρονίων.
κινήσας δὲ κάρη, τοίην δ' ἐφθέγξατο φωνήν.

Ὢ πόποι, ἦ μέγα ἔργον ἐν ὀφθαλμοῖσιν ὁρῶμαι.
οὐ μικρόν μ' ἔπληξε Μεριδάρπαξ κατὰ λίμνην
ἐν ναίρειν βατράχους βλεμεαίνων. ἀλλὰ τάχιστα
Παλλάδα πέμψωμεν πολεμόκλονον ἠδὲ καὶ Ἄρην,
οἵ μιν ἐπισχήσουσι μάχης κρατερόν περ ἐόντα.

Ὣς ἄρ' ἔφη Κρονίδης. Ἄρης δ' ἀπαμειβόμενος μύθῳ
οὔτ' ἄρ' Ἀθηναίης Κρονίδη σθένος, οὔτε Ἄρηος
ἰσχύσει βατράχοισιν ἀρηγέμεν αἰπὺν ὄλεθρον.
ἀλλ' ἄγε πάντες ἴωμεν ἀρηγόνες, ἢ τὸ σὸν ὅπλον
κινείσθω μέγα τιτανοκτόνον ὀβριμοεργόν,
ᾧ κτάνας ὑπέρφυες ἀρίστους ἔξοχα πάντων,
Ἐγκέλαδόν τ' ἐπέδησας, ἰδ' ἄγρια φῦλα γιγάντων.
Ὣς ἄρ' ἔφη. Κρονίδης δ' ἔβαλε ψολόεντα κεραυνόν,
πρῶτα μὲν ἐβρόντησε, μέγαν δ' ἐλέλιξεν Ὄλυμπον.
αὐτὰρ ἔπειτα κεραυνὸν δειμαλέον Διὸς ὅπλον
ἧκ' ἐπιδινήσας. ὁ δ' ἄρ' ἔπτατο χειρὸς ἄνακτος.
πάντας μὲν ῥ' ἐφόβησε βαλὼν βατράχους τε μύας τε.
ἀλλ' οὐδ' ὣς ἀπέληγε μυῶν στρατὸς, ἀλλ' ἔτι μᾶλλον
ἵετο πορθήσειν βατράχων γένος αἰχμητάων.

εἰ

Erat aũt q̃dã inter mures iuuenis filius egregius inter alios
Cominus pugnans, charus filius irreprehẽsibilis Artepibuli
Princeps ipſum Martem oſtendens robuſtus Meridarpax
Qui ſolus inter mures dominabatur pugnando,
Stetit autem iuxta lacum elatus ſolus ab alijs
Iactabat autem de populatũ ire ranarũ genus iaculatricum
Et certe perfeciſſet, quoniam magnum ipſi robur erat,
Niſi ſtatim intellexiſſet pater hominum deorumq́;,
Et tunc pereuntes ranas miſeratus fuiſſet Saturnius.
Mouens autem caput, talem locutus eſt uocem,
Odij, certe magnum opus in oculis uideo.
Non parum me ſtupefecit Meridarpax per lacum,
Trucidare ranas deſiderans, ſed celerrime
Palladem mittamus tumultuoſam etiam & Martem,
Qui ipſum arcebunt à pugna robuſtum quamuis exiſtẽtem.
Sic certe locutus Iupiter: Mars autẽ reſpondebat ſermone
Neq; certe Palladis ò Iupiter potentia, neq; Martis
Poterit ranis auxiliari diram perniciem.
Sed age omnes eamus auxiliatores, uel tuum iaculum
Moueatur magnum quod Titanas ſuſtulit, potens opus,
Quo Titanas occidiſti egregios ultra omnes,
Enceladũq́; tumultuoſeq́; ligaſti, & agreſtia genera gigãtũ
Sic certe dixit: Saturnius autẽ iaculatus eſt ardẽs fulmen.
Primum quidem intonuit, magnum autem commouit cœlum,
Sed poſtea fulmen terribile, Iouis telum,
Miſit inuoluens. illud autem certe euolauit à manu regis
Omnes quidem utiq; terruit iaculatus, ranasq́; muresq́;
Sed neq; ſic ceſſauit murium exercitus, ſed adhuc amplius,
Cupiebat depopulatum ire ranarum genus iaculatricum,

Niſi

Πρασσαῖος, caulis colori ſimilis

Αρτεπίβουλος, pani inſidiantis

μεριδάρπαξ raptor particularũ

immo.ἀ or- ranus.

εἰ μὴ ἀπ' οὐλύμπου βατράχους ἐλέησε κρονίων,
ὅς ῥα τότε βατράχοισιν ἀρωγοὺς εὐθὺς ἔπεμψεν.
ἦλθον δ' ἐξαίφνης νωτάκμονες, ἀγκυλοχῆλαι,
λοξοβάται, στρεβλοί, ψαλιδόστομοι, ὀστρακόδερμοι,
ὀστοφυεῖς, πλατύνωτοι, ἀποστίλβοντες ἐν ὤμοις,
βλαισοί, χειροτένοντες, ἀπὸ στέρνων ἐσορῶντες.
ὀκτάποδες, δικάρηνοι, ἀχειρέες. οἱ δὲ καλεῦνται
καρκίνοι, οἵ ῥα μυῶν οὐρὰς στομάτεσσιν ἔκοπτον,
ἠδὲ πόδας, καὶ χεῖρας. ἀνεγνάμπτοντο δὲ λόγχαι.
οὓς καὶ ὑπέδεισαν δειλοὶ μύες, οὐδ' ὑπέμειναν.
ἐς δὲ φυγὴν ἐτράποντο. ἔδυ δ' ἥλιος ἤδη.
καὶ πολέμου τελετὴ μονήμερος ἐξετελέσθη.

ΤΕΛΟΣ ΤΗΣ ΟΜΗΡΟΥ
ΒΑΤΡΑΧΟΜΥΟ-
ΜΑΧΙΑΣ

Nisi ab olympo ranas meseratus fuisset Saturnius,
Qui utiq; tunc ranis auxiliatores ilico misit.
Venerũt aũt ex improuiso habẽtes incudes in tergo, ungulis
Obliqua ingredientes, tortuosi, habentes cortices, in ore ostri
Ossei natura, lati humeros, rutilantes in humeris (pelles
Blæssi, neruosis manibus, à pectoribus intuentes.
Octopedes bicipites, manibus incapabiles: illi aũt uocantur
Cancri qui utiq; murium caudas oribus incidebant
Etiam pedes & manus, flectebantur autem lanceæ.
Quos & timuerunt miseri mures, neq; sustinuerunt,
In fugam autem uertebantur, occidebat autem sol iam,
Et belli finis unius diei perfectus est.

FINIS HOMERI BATRACHOMYOMACHIAE

Επιτάφιον εἰς ὅμηρον ἀντιπάτρου σιδωνίου.

Ταν μερόπων πειθὼ, τὸ μέγα στόμα, ταν ἴσα μούσαις
φθεγξαμέναν κεφαλὰν ὦ ξεῖνε μαιονίδεω,
ἅδ' ἔλαχον νασῖτις ἴου σπιλάς. οὐ γὰρ ἐν ἄλλᾳ
ἱερόν, ἀλλ' ἐν ἐμοὶ πνεῦμα θανὼν ἔλιπεν.
ᾧ νεῦμα κρονίδαο τὸ παγκρατὲς, ᾧ καὶ ὄλυμπον,
καὶ ταν αἴαντος ναύμαχον εἶπε βίαν,
καὶ τὸν ἀχιλλείοις φαρσαλίσιν ἕκτορα πώλοις
ὀστέα δαρδανικῷ δρυπτόμενον πεδίῳ
εἰ δ' ὀλίγα κρύπτω τὸν τάλικον, ἴσθ' ὅτι κεύθει
καὶ θέτιδος γαμέταν ἁ βραχύβωλος ἴκος.

Εἰς τὸν αὐτόν.

Ενθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει
ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον ὅμηρον.

Νηὸς ἔην ἀνὰ σηστόν, ἀγίνεον ἧχι θυηλὰς,
κυπρογενεῖ, σπένδοντες ἐτήσιον. αὐτὰρ ὁ τόξον,
οὗλος ἔρως βάσταζε διοιστεῦσαι δὲ μεμηλὼς,
ὀξέα δ' ἐνδίλλωσκε. πικρὸν δ' ἴθυνεν ὀϊστόν.
μητρὸς ἐπ' ἀρήτειραν ὑποβρύχων δ' ἐπελάσθη,
ἥπατι λειάνδροιο κόρης φρένα ἄψα πορήσας.
ἀμφότεροι δὲ πόθου, αὐτῶν πεφορημένοι οἴστρῳ,
ἀλλήλων ἀπόναντο. γάμων δὲ συνίστορα λύχνον
λαθριδίων θῆκαν τε. σιδήρειον δὲ λελογχὼς,
αἷμα, πολυπλάγκτης προὔδωκε ποθεῶντας ἀέλλας,
καί σφε φάους μὲν ἄμερσεν, ἄμερσε δὲ καὶ φιλότητων.

Τοῦ αὐτοῦ εἰς μουσαῖον.

Καὶ φρένας ἀδρήστεια θεῶν ἕλε, δὴ γὰρ ἀοιδαῖς,
στεῦτο λαχεῖν ἀρῆς, μουσαῖος ἄποινα πόνων
τοῦτον κλύων νεμέσησ'. ὅτ' ἐοῖς ἐπεγνώσθεν ἔργοις
ἀχλὺς ἄδην. ἀρδεῦς τ' οὐχ ἄδεν ὕβειν ἔρως
μουσαίῳ δ' ἐπετέλλεν, ὃ δ' ἐκλήιζε ποθεώντων
οἶστρον, ἀποδρέψαι παρθενίης κάλυκας.
αἰνείσθω δὲ μικρῆσιν ὑποστίξας σελίδεσιν,
ὅσσ' ὀλίγαις παίζων χερσὶν ἔοργεν ἔρως.

ΜΟΥΣΑΙΟΥ ΤΑ ΚΑΤ᾽ ΗΡΩ ΚΑΙ ΛΕΑΝΔΡΟΝ

Εἰπὲ θεὰ κρυφίων ἐπιμάρτυρα λύχνον ἐρώτων,
καὶ νύχιον πλωτῆρα θαλασσοπόρων ὑμεναίων,
καὶ γάμον ἀχλυόεντα, τὸν οὐκ ἴδεν ἄφθιτος ἠώς.
καὶ σηστὸν καὶ ἄβυδον, ὅπῃ γάμος ἔννυχος ἡροῦς.
νηχόμενόν τε λέανδρον ὁμοῦ, καὶ λύχνον ἀκούω,
λύχνον ἀπαγγέλλοντα διακτορίην ἀφροδίτης,
ἡροῦς νυκτιγάμοιο γαμοστόλον ἀγγελιώτην,
λύχνον ἔρωτος ἄγαλμα, τὸν ὤφελεν αἰθέριος ζεὺς,
ἐννύχιον μετ᾽ ἄεθλον ἄγειν ἐφ᾽ ὁμήγυριν ἄστρων,
καί μιν ἐπικλῆσαι νυμφοστόλον ἄστρον ἐρώτων.
ὅττι πέλεν συνέριθος ἐρωμανέων ὀδυνάων.
ἀγγελίην δ᾽ ἐφύλαξεν ἀκοιμήτων ὑμεναίων,
πρὶν χαλεπὸν πνοιῇσιν ἀήμεναι ἐχθρὸν ἀήτην.
ἀλλ᾽ ἄγε μοι μέλποντι μίαν ξυναείδε τελευτὴν
λύχνου σβεννυμένοιο καὶ ὀλλυμένοιο λεάνδρου.
Σηστὸς ἔην καὶ ἄβυδος ἐναντίον ἐγγύθι πόντου,
γείτονές εἰσι πόληες. ἔρως δ᾽ ἀνὰ τόξα τιταίνων,
ἀμφοτέρῃς πολίεσσιν ἕνα ξυνέηκεν ὀϊστόν,
ἠΐθεον φλέξας καὶ παρθένον. ὄνομα δ᾽ αὐτῶν
ἱμερόεις τε λέανδρος ἔην καὶ παρθένος ἡρώ,
ἡ μὲν σηστὸν ἔναιεν, ὁ δὲ, πτολίεθρον ἀβύδου,
ἀμφοτέρων πολίων περικαλλέες ἀστέρες ἄμφω
ἴκελοι ἀλλήλοισι. σὺ δ᾽ εἴποτε κεῖθι περήσεις,
δίζεό μοι τινὰ πύργον, ὅπῃ ποτὲ σηστιὰς ἡρὼ
ἵστατο λύχνον ἔχουσα, καὶ ἡγεμόνευε λεάνδρῳ.
δίζεο δ᾽ ἀρχαίης ἁλιηχέα πορθμὸν ἀβύδου,

εἰσέτι

MVSAEVS DE ERO ET LEANDRO

Dic Dea occultorum testem lucernam amorum,
Et nocturnum natatorē p mare transeuntiū nuptiarū
Et coitum tenebrosum, quem nō uidit incorruptibilis aurora,
Et Sestum & Abydum, ubi nuptiæ nocturnæ Erûs
Natantemq́; Leandrum simul & lucernam audio,
Lucernam annunciantem nuncium Veneris,
Erûs nocte nubentis ornantem nuncium,
Lucernam amoris simulacrū, quam debuit æthereus Iupiter
Nocturnum post officium ducere ad consortium astrorum;
Ac ipsam appellasset sponsas ornantem stellam amorum,
Quoniam fuit ministra amatoriarum curarum,
Nunciumq́; seruauit insomnium nuptiarum,
Antequam molestum flatibus flaret inimicus uentus.
Sed eia mihi canenti unum concine finem
Lucernæ extinctæ, & pereuntis Leandri.
Sestus erat & Abydus é regione, prope mare
Vicinæ sunt urbes. Cupido autem arcum tendens,
Ambabus urbibus unam commisit sagittam,
Iuuenem urens & uirginem, nomen uero eorum
Suauisq́; Leander erat, & uirgo Ero.
Hæc quidem Sestum habitabat, ille uero oppidum Abydi,
Ambarum urbium perpulchræ stellæ ambo,
Similes inter se, tu uero si quando illac transibis,
Quære mihi quandam turrim, ubi quondam Sestias Ero
Stabat, lucernam habens, & dux erat Leandro.
Quære & antiquæ marisonum fretum Abydi,

εἰσέτι που κλαίοντα μόρον, καὶ ἔρωτα λεάνδρου
ἀλλὰ πόθεν λείανδρος ἀβυδόθι δώματα ναίων
ἡροῦς εἰς πόθον ἦλθε, πόθῳ δ' ἐνέδησε καὶ αὐτήν;
ἡρὼ μὲν χαρίεσσα διοτρεφὲς αἷμα λαχοῦσα
κύπριδος ἦν ἱέρεια, γάμων δ' ἀδίδακτος ἐοῦσα,
πύργον ἀπὸ προγόνων παρὰ γείτονι ναῖε θαλάσσῃ,
ἄλλη κύπρις ἄνασσα, σαοφροσύνῃ δὲ καὶ αἰδοῖ
οὐδέποτ' ἀγρομένῃσιν ἐνωμίλησε γυναιξίν.
οὐδὲ χορὸν χαρίεντα μετήλυθεν ἥλικος ἥβης
μῶμον ἀλευομένη ζηλήμονα θηλυτεράων.
καὶ γὰρ ἐπ' ἀγλαΐῃ ζηλήμονές εἰσι γυναῖκες.
ἀλλ' αἰεὶ κυθέρειαν ἱλασκομένη ἀφροδίτην,
πολλάκι καὶ τὸν ἔρωτα παρηγορέεσκε θυηλαῖς,
μητρὶ σὺν οὐρανίῃ φλογερὴν τρομέουσα φαρέτρην.
ἀλλ' οὐδ' ὣς ἀλέεινε πυρπνείοντας ὀϊστούς,
δὴ γὰρ κυπριδίη πανδήμιος ἦλθεν ἑορτή,
τὴν ἀνὰ σηστὸν ἄγουσιν ἀδώνιδι καὶ κυθερείῃ,
πασσυδίῃ δ' ἔσπευδον ἐς ἱερὸν ἦμαρ ἱκέσθαι
ὅσσοι ναιετάασκον ἁλιστεφέων σφυρὰ νήσων,
οἱ μὲν ἀφ' αἱμονίης, οἱ δ' εἰναλίης ἀπὸ κύπρου.
οὐδὲ γυνή τις ἔμιμνεν ἐνὶ πτολίεσσι κυθήρων,
οὐ λιβάνου θυόεντος ἐνὶ πτερύγεσσι χορεύων,
οὐ φρυγίης ναέτης, οὐ γείτονος ἀστὸς ἀβύδου,
οὐδέ τις ἠϊθέων φιλοπάρθενος, ἦ γὰρ ἐκεῖνοι
αἰὲν ὁμαρτήσαντες ὅπῃ φάτις ἐστὶν ἑορτῆς,
οὐ τόσον ἀθανάτων ἀγέμεν σπεύδουσι θυηλάς,
ὅσσον ἀγειρομένων διὰ κάλλεα παρθενικάων.
ἡ δὲ θεῆς ἀνὰ νηὸν ἐπῴχετο παρθένος ἡρώ,

μαρμα

Adhuc deflens mortem & amorem Leandri.
Verum unde Leander in Abydo domos habitans
Erûs ad amorem uenit, amore uero deuinxit & ipsam?
Ero elegans generosum sanguinem sortita,
Veneris erat sacerdos. nuptiarum uero imperita cum esset
Turrim à parentibus apud uicinum habitabat mare
Altera Venus regina: castitate uero & pudore
Nunquam collectarum commercio usa est mulierum.
Neq; tripudium elegans adigit iuuenilis ætatis,
Liuorem euitans inuidum mulierum.
Nam ob pulchritudinem inuidæ sunt fœminæ.
Sed semper Cithercam placans Venerem,
Sæpe & Cupidinem conciliabat libamentis.
Matre cum cœlesti flammeam tremens pharetram.
Sed neq; sic euitauit ignitas sagittas.
Iamq; Venereum populare uenit festum.
Quod Sesti celebrant Adonidi & Veneri.
Cateruatimq; festinabant ad sacrum diem ire,
Quotquot habitabât mari circumdatarũ extrema insularũ
Aliqui quidem ab Hœmonia, aliqui uero maritima à Cypro
Neq; mulier ulla remansit in oppidis Cytherorum,
Non Libani odoriferi in summitatibus saltans,
Non Phrygiæ incola, non uicinæ ciuis Abydi,
Neq; ullus iuuenis amator uirginum. certe enim illi
Semper secuti, ubi fama est, festi,
Non tantum immortalium afferre festinant sacrificia,
Quantum aggregatarum ob pulchritudines uirginum.
Verum deæ per ædem incessit uirgo Ero,

μαρμαρυγὴν χαρίεσσαν ἀπαστράπτουσα προσώπου
οἷά τε λευκοπάρηος ἐπαντέλλουσα σελήνη.
ἄκρα δὲ χιονέων φοινίσσετο κύκλα παρειῶν
ὡς ῥόδον ἐκ καλύκων διδυμόχροον, ἦ τάχα φαίης
ἡροῦς ἐν μελέεσσι ῥόδων λειμῶνα φανῆναι.
χροιὴ γὰρ μελέων ἐρυθαίνετο. νισσομένης δὲ
καὶ ῥόδα λευκοχίτωνος ὑπὸ σφυρὰ λάμπετο κούρης,
πολλαὶ δ᾽ ἐκ μελέων χάριτες ῥέον. οἱ δὲ παλαιοὶ
τρεῖς χάριτας ψεύσαντο πεφυκέναι, εἷς δέ τις ἡροῦς
ὀφθαλμὸς γελόων ἑκατὸν χαρίτεσσι τεθήλει.
ἀτρεκέως ἱέρειαν ἐπάξιον εὕρετο κύπρις.
ὣς ἡ μὲν περὶ πολλὸν ἀριστεύουσα γυναικῶν,
κύπριδος ἀρήτειρα νέη διεφαίνετο κύπρις.
δύσατο δ᾽ ἠιθέων ἁπαλὰς φρένας, οὐδέ τις ἀνδρῶν
ἦεν ὃς οὐ μενέαινεν ἔχειν ὁμοδέμνιον ἡρώ.
ἡ δ᾽ ἄρα καλλιθέμεθλον ὅπῃ κατὰ νηὸν ἀλᾶτο,
ἑσπόμενον νόον εἶχε καὶ ὄμματα καὶ φρένας ἀνδρῶν.
καί τις ἐν ἠιθέοισιν ἐθαύμασε, καὶ φάτο μῦθον.
καὶ σπάρτης ἐπέβην, λακεδαίμονος ἔδρακον ἄστυ,
ἧχι μόθον καὶ ἄεθλον ἀκούομεν ἀγλαϊάων.
τοίην δ᾽ οὔπω ὄπωπα νέην κεδνήν θ᾽ ἁπαλήν τε.
καὶ τάχα κύπρις ἔχει χαρίτων μίαν ὁπλοτεράων.
παπταίνων ἐμόγησα, κόρον δ᾽ οὐχ εὗρον ὀπωπῆς.
αὐτίκα τεθναίην λεχέων ἐπιβήμενος ἡροῦς.
οὐκ ἂν ἐγὼ κατ᾽ ὄλυμπον ἐφιμείρων θεὸς εἶναι,
ἡμετέρην παράκοιτιν ἔχων ἐνὶ δώμασιν ἡρώ.
εἰ δέ μοι οὐκ ἐπέοικε τεὴν ἱέρειαν ἀφάσσειν,
τοίην μοι κυθέρεια νέην παράκοιτιν ὀπάσσαις.
τοῖα μὲν ἠιθέων τις ἐφώνεεν, ἄλλοθεν ἄλλος

Splendorem gratum emittens facie,
Qualis alba genas oriens luna
Summi uero niuearum rubebant circuli genarum,
Vt rosa ex thecis bicolor, certe diceres
Erûs in membris rosarum pratum apparere.
Colore enim membrorum rubebat. euntes uero Erûs
Etiã rosæ candidã indutæ tunicã sub talis splendebant puellæ
Multæ uero ex membris gratiæ fluebant, sed antiqui
Treis Gratias mentiti sunt esse, alteruter uero Erûs
Oculus ridens centum gratijs pullulabat.
Profecto sacerdotem dignam nacta est Venus.
Sic ea quidem plurimum antecellens fœminas
Veneris sacerdos noua apparebat Venus.
Subijt autem iuuenum teneras mentes, neq; ullus uir
Erat, qui non affectaret habere coniugem Ero
Illa autem bene fundatam quacunq; per ædem uagabatur,
Sequentem mentẽ habebat & oculos & præcordia uirorũ.
Atq; aliquis inter iuuenes admiratus est. & dixit uerbum.
Et Spartem peragraui, Lacedæmonis uidi urbem.
Vbi laborem & certamen audimus pulchritudinum,
Talem autem non uidi puellam, prudentemq́; teneramq́;
Et foret Venus habet gratiarum unam iuuenum
Intuens defessus sum, satietatem autem non inueni aspectus.
Statim moriar cubilia ubi conscenderim Erûs.
Non ego in cœlo cuperem deus esse,
Nostram uxorem habens domi Ero.
Si autem mihi non licet tuam sacerdotem tractare,
Talem mihi Cytherea puellam uxorem præbeas.
Talia iuuenum quisq; locutus est, undiq; alius

ἕλκος ὑποκλέπτων ἐπεμήνατο κάλλει κούρης.
Αἰνοπαθὲς λέανδρε, σὺ δ᾽ ὡς ἴδες εὐκλέα κούρην,
οὐκ ἔθελες κρυφίοισι κατατρύχειν φρένα κέντροις,
ἀλλὰ πυριπνεύστοισι δαμεὶς ἀδόκητον ὀϊστοῖς,
οὐκ ἔθελες ζώειν περικαλλέος ἄμμορος ἡροῦς,
σὺν βλεφάρων δ᾽ ἀκτῖσιν ἀέξετο πυρσὸς ἐρώτων
καὶ κραδίη πάφλαζεν ἀνικήτου πυρὸς ὁρμῇ.
κάλλος γὰρ περίπυστον ἀμωμήτοιο γυναικὸς
ὀξύτερον μερόπεσσι πέλει πτερόεντος ὀϊστοῦ.
ὀφθαλμὸς δ᾽ ὁδός ἐστιν. ἀπ᾽ ὀφθαλμοῖο βολάων
ἕλκος ὀλισθαίνει καὶ ἐπὶ φρένας ἀνδρὸς ὁδεύει,
εἷλε δέ μιν τότε θάμβος, ἀναιδείη, τρόμος, αἰδώς.
ἔτρεμε μὲν κραδίην. αἰδὼς δέ μιν εἶχεν ἁλῶναι.
θάμβεε δ᾽ εἶδος ἄριστον, ἔρως δ᾽ ἀπενόσφισεν αἰδῶ,
θαρσαλέως δ᾽ ὑπ᾽ ἔρωτος ἀναιδείην ἀγαπάζων,
ἠρέμα ποσσὶν ἔβαινε, καὶ ἀντίον ἵστατο κούρης.
λοξὰ δ᾽ ὀπιπεύων δολερὰς ἐλέλιζεν ὀπωπάς,
νεύμασιν ἀφθόγγοισι παραπλάζων φρένα κούρης.
αὐτὴ δ᾽ ὡς ξυνέηκε πόθον δολόεντα λεάνδρου
χαῖρεν ἐπ᾽ ἀγλαΐῃσιν, ἐν ἡσυχίῃ δὲ καὶ αὐτὴ
πολλάκις ἱμερόεσσαν ἑὴν ἀπέκρυψεν ὀπωπὴν,
νεύμασι λαθριδίοισιν ὑπαγγελέουσα λεάνδρῳ,
καὶ πάλιν ἀντέκλινεν. ὁ δ᾽ ἔνδοθι θυμὸν ἰάνθη,
ὅττι πόθον ξυνέηκε καὶ οὐκ ἀπεσείσατο κούρη,
ὄφρα μὲν οὖν λέανδρος ἐδίζετο λάθριον ὥρην,
φέγγος ἀναστείλασα κατήϊεν ἐς δύσιν ἠώς,
ἐκ περάτης δ᾽ ἀνέφαινε βαθύσκιος ἕσπερος ἀστὴρ
αὐτὰρ ὁ θαρσαλέως μετεκίαθεν ἐγγύθι κούρης
ὡς ἴδε κυανόπεπλον ἐπιθρώσκουσαν ὀμίχλην,

ἠρέμα

Vulnus celans insaniuit pulchritudine puellæ.

Grauia passe Leander, tu autẽ ut uidisti inlcytam puellam
Nolebas occultis consumere mentem stimulis,
Sed ardentibus domitus inopinato sagittis,
Nolebas uiuere perpulchræ expers Erûs.
Simul in oculorum radijs crescebat fax amorum,
Et cor feruebat inuicti ignis impetu.
Pulchritudo enim celebris immaculatæ fœminæ,
Acutior hominibus est ueloce sagitta.
Oculus uero uia est. ab oculi ictibus
Vulnus delabitur, & in præcordia uiri uiat.
Cepit autem ipsum tunc stupor, impudentia, tremor, pudor.
Tremuit quidem corde, pudor non ipsum tenebat captum
Obstupuit uero pulchritudinem optimam. amor uero ademit
Audacter aũt ob amorem impudentiam affectãs (pudorẽ.
Tacite pedibus incedebat, & contra stetit puellam
Obliquè uero intuens dolosos torquebat oculos,
Nutibus mutis deuians mentem puellæ.
Ipsa uero ut sensit amorem dolosum Leandri,
Gauisa est ob gratias suas. tacite uero & ipsa
Sæpe gratam suam deiecit faciem,
Nutibus occultis innuens Leandro,
Et rursus extulit. ille uero intus animo gaudebat,
Quod amorem sensit, & non renuit puella.
Dum igitur Leander quærebat occultam horam,
Lucem contrahens descendit ad occasum aurora.
E regione autem apparuit umbrosa uesperæ stella.
Sed ipse audacter adibat propè puellam,
Vt uidit atratas insurgere tenebras,

ἠρέμα μὲν θλίβων ῥοδοειδέα δάκτυλα κούρης
βυσσόθεν ἐστονάχιζεν ἀθέσφατον. ἡ δὲ σιωπῇ
οἷά τε χωομένη ῥοδέην ἐξέσπασε χεῖρα.
ὡς δ' ἐρατῆς ἐνόησε χαλίφρονα νεύματα κούρης,
θαρσαλέως παλάμῃ πολυδαίδαλον εἷλκε χιτῶνα.
ἔσχατα τιμήεντος ἄγων ἐπὶ κεύθεα νηοῦ.
ὀκναλέως δὲ πόδεσσιν ἐφέσπετο παρθένος ἡρὼ
οἷά περ οὐκ ἐθέλουσα. τοίην δ' ἀνενείκατο φωνὴν,
θηλυτέροις ἐπέεσσιν ἀπειλείουσα λεάνδρῳ.
Ξεῖνε, τί μαργαίνεις; τί με δύσμορε παρθένον ἕλκεις;
ἄλλην δεῦρο κέλευθον. ἐμὸν δ' ἀπόλειπε χιτῶνα,
μῆνιν ἐμῶν ἀπόειπε πολυκτεάνων γενετήρων.
κύπριδος οὔ σοι ἔοικε θεῆς ἱέρειαν ἀφάσσειν.
παρθενικῆς ἐπὶ λέκτρον ἀμήχανόν ἐστιν ἱκέσθαι.
τοῖα μὲν ἠπείλησεν ἐοικότα παρθενικῇσιν.
Θηλείης δὲ λεάνδρος ἐπεὶ κλύεν οἶστρον ἀπειλῆς.
ἔγνω πειθομένων σημήια παρθενικάων.
καὶ γὰρ ὅτ' ἠιθέοισιν ἀπειλείωσι γυναῖκες,
κυπριδίων ὀάρων αὐτάγγελοί εἰσιν ἀπειλαὶ,
παρθενικῆς δ' εὔοδμον ἐύχροον αὐχένα κύσσας,
τοῖον μῦθον ἔειπε πόθου βεβολημένος οἴστρῳ.
Κύπρι φίλη μετὰ κύπριν, ἀθηναίη μετ' ἀθήνην,
οὐ γὰρ ἐπιχθονίῃσιν ἴσην καλέω σε γυναιξὶν,
ἀλλά σε θυγατέρεσσι διὸς κρονίωνος ἐίσκω.
ὄλβιος ὅς σ' ἐφύτευσε, καὶ ὀλβίη ἣ τέκε μήτηρ,
γαστὴρ ἥ σ' ἐλόχευσε μακαρτάτη, ἀλλὰ λιτάων
ἡμετέρων ἐπάκουε. πόθου δ' οἴκτειρον ἀνάγκην.
κύπριδος ὡς ἱέρεια μετέρχεο κύπριδος ἔργα,
παρθένον οὐκ ἐπέοικεν ὑποδρήσσειν ἀφροδίτῃ.

παρ-

Tacite quidem ſtringens roſeos digitos puellæ
Ex imo ſuſpirabat uehementer. illa uero ſilentio
Tanquam iraſcens roſeam retraxit manum.
Vt uero amatæ ſenſit inſtabileis mutus puellæ,
Audacter manu uariam traxit ueſtem,
Vltima uenerandi ducens ad penetralia templi.
Pigre autem pedibus ſequebatur uirgo Ero
Tanquam nolens, talemq; emiſit uocem,
Fœmineis uerbis amicis minans Leandro.
Hoſpes quid inſanis? quid me infelix uirginem trahis?
Alia ito uia, meamq; dimitte ueſtem.
Iram meorum euita locupletum parentum.
Venerem non te decet deæ ſacerdotem ſolicitare,
Virginis ad lectum difficile eſt ire.
Talia minata eſt conuenientia uirginibus.
Fœminearum aũt Leander ubi audiuit furorẽ minarum,
Senſit perſuaſarum ſigna uirginum
Etenim cum iuuenibus minantur fœminæ,
Venerearum conſuetudinum per ſe nunciæ ſunt minæ.
Virginis autem beneolens bonicoloris collum oſculatus.
Tale uerbum locutus eſt amoris ictus ſtimulo.
Venus chara poſt Venerem, Minerua poſt Mineruam,
Non enim terreſtribus æqualem uoco te mulieribus,
Sed te filiabus Iouis Saturnij aſſimilo,
Beatus qui te plantauit, & beata quæ peperit mater,
Venter qui te portauit feliciſſimus, ſed preces
Noſtras exaudi, amoriſq; miſerere neceſſitatis.
Veneris ut ſacerdos exerce Veneris opera.
Virginem non decet adminiſtrare Veneri.

παρθενικαῖς οὐκ κύπρις ἰαίνεται. ἢν δ' ἐθελήσῃς
θεσμὰ θεῆς ἐρόεντα καὶ ὄργια πιστὰ δαῆναι,
ἔστι γάμος καὶ λέκτρα. σὺ δ' εἰ φιλέεις κυθέρειαν,
θελξινόων ἀγάπαζε μελίφρονα θεσμὸν ἐρώτων,
σὸν δ' ἱκέτην με κόμιζε, καὶ ἢν ἐθέλῃς παρακοίτην
τόν σοι ἔρως ἤγρευσεν ἑοῖς βελέεσσι κιχήσας.
ὡς θρασὺν ἡρακλῆα θοὸς χρυσόρραπις ἑρμῆς
θητεύειν ἐκόμιζεν ἰαρδανίῃ ποτὶ νύμφῃ.
σοὶ δέ με κύπρις ἔπεμπε καὶ ὁ σοφὸς ἤγαγεν ἑρμῆς.
παρθένος οὔ σε λέληθεν ἀπ' ἀρκαδίης ἀταλάντη,
ἥποτε μειλανίωνος ἐρασσαμένου φύγεν εὐνὴν
παρθενίης ἀλέγουσα. χολωσαμένης δ' ἀφροδίτης
τὸν πάρος οὐκ ἐπόθησεν, ἐνὶ κραδίῃ θέτο πάσῃ.
πείθεο καὶ σὺ φίλη, μὴ κύπριδι μῆνιν ἐγείρῃς.
ὣς εἰπὼν παρέπεισεν ἀναινομένης φρένα κούρης
θυμὸν ἐρωτοτόκοισι παραπλάγξας ἐνὶ μύθοις.
παρθενικὴ δ' ἄφθογγος ἐπὶ χθόνα πῆξεν ὀπωπὴν,
αἰδοῖ ἐρυθιόωσαν ὑποκλέπτουσα παρειὴν,
καὶ χθονὸς ἔξεεν ἄκρον ἐπ' ἴχνεσιν, αἰδομένη δὲ
πολλάκις ἀμφ' ὤμοισιν ἑὸν ξυνέεργε χιτῶνα.
πειθοῦς γὰρ τάδε πάντα προάγγελα. παρθενικῆς δὲ
πειθομένης ποτὶ λέκτρον, ὑπόσχεσις ἐστὶ σιωπή.
ἤδη καὶ γλυκύπικρον ἐδέξατο κέντρον ἐρώτων.
θέρμετο δὲ κραδίην γλυκερῷ πυρὶ παρθένος ἡρώ,
κάλλεϊ δ' ἱμερόεντος ἀνεπτοίητο λεάνδρου
ὄφρα μὲν οὖν ποτὶ γαῖαν ἔχεν νεύουσαν ὀμίχλην
τόφρα δὲ καὶ λείανδρος ἐρωμανέεσσι προσώποις
οὐ κάμεν εἰσορόων ἁπαλόχροον αὐχένα κούρης.
ὀψὲ δὲ λειάνδρῳ γλυκερὴν ἀνενείκατο φωνὴν

αἰδοῦς

Virginibus Venus non gaudet. si uero uolueris
Instituta deæ desideranda, & cærimonias fidas discere,
Sunt nuptiæ & lecti. tu autem si amas Venerem
Mulcentium mentem ama suauem legem amorum,
Tuumq; supplicem me accipe, & si uolueris coniugem
Quem tibi Cupido uenatus est, suis sagittis assecutus:
Sicut audacem Herculem uelox auriuirga Mercurius
Seruitum duxit Iardaniam ad puellam.
Tibi uero me Venus misit, & nõ sapiens adtulit Mercurius.
Virgo non te latet ex Arcadia Atalanta,
Quæ olim Melanionis amantis fugit lectum,
Virginitatem curans. irata autem Venere,
Quem prius non amauit, in corde posuit toto.
Persuadere & tu chara, ne Veneri iram excites.
Sic fatus, persuasit recusantis mentem puellæ,
Animum amoriperis errare faciens uerbis.
    Virgo autem muta, in terram fixit aspectum,
Pudore rubefactam abscondens genam.
Et terræ rasit summitatem in uestigijs. cum puderet autem
Sæpe circa humeros suam contraxit uestem.
Persuasionis enim hæc omnia prænuncia, uirginis autem
Persuasæ ad lectum, promissio est silentium.
Iam suauamarum suscepit stimulum amorum.
Vrebatur autem cor dulci igne uirgo Ero
Pulchritudineq; suauis stupescebat Leandri.
    Dum igitur ad terram habebat inclinatam caliginem,
Tunc & Leander amore furente uultu
Non laborabat uidens tenerum collum uirginis.
Sero uero Leandro suauem emisit uocem

Verecundiæ

αἰδοῦς ὑγρὸν ἔρευθος ἀπεστάζουσα προσώπου.
Ξεῖνε, τεοῖς ἐπέεσσι τάχ' ἂν καὶ πέτρον ὀρίναις.
τίς σε πολυπλανέων ἐπέων ἐδίδαξε κελεύθους;
ὤμοι, τίς σ' ἐκόμισσεν ἐμὴν ἐς πατρίδα γαῖαν;
ταῦτα δὲ πάντα μάτην ἐφθέγξαο. πῶς γὰρ ἀλήτης
ξεῖνος ἐὼν καὶ ἄπιστος, ἐμῇ φιλότητι μιγείης;
ἀμφαδὸν οὐ δυνάμεσθα γάμοις ὁσίοισι πελάσσαι
οὐ γὰρ ἐμοῖς τοκέεσσιν ἐπεύαδεν. ἢν δ' ἐθελήσῃς
ὡς ξεῖνος πολύφοιτος ἐμὴν ἐς πατρίδα μίμνειν,
οὐ δύνασαι σκοτόεσσαν ὑποκλέπτειν ἀφροδίτην.
γλῶσσα γὰρ ἀνθρώπων φιλοκέρτομος. ἐν δὲ σιωπῇ
ἔργον ὅπερ τελέει τις, ἐνὶ τριόδοισιν ἀκούει.
εἰπὲ δὲ μὴ κρύψῃς τεὸν οὔνομα καὶ σέο πάτρην.
οὐ γὰρ ἐμόν σε λέληθεν. ἐμοὶ δ' ὄνομα κλυτὸν ἡρώ.
πύργος δ' ἀμφιβόητος ἐμὸς δόμος οὐρανομήκης,
ᾧ ἔνι ναιετάουσα σὺν ἀμφιπόλῳ τινὶ μούνῃ
σηστιάδος πρὸ πόληος ὑπὲρ βαθυκύμονας ὄχθας
γείτονα πόντον ἔχω στυγεραῖς βουλῆσι τοκήων.
οὐδέ μοι ἐγγὺς ἔασιν ὁμήλικες. οὐδὲ χορεῖαι
ἠϊθέων παρέασιν. ἀεὶ δ' ἀνὰ νύκτα καὶ ἠῶ
ἐξ ἁλὸς ἠνεμόεντος ἐπιβρέμει οὔασιν ἠχή.
ὣς φαμένη ῥοδέην ὑπὸ φάρεϊ κρύπτε παρειήν,
ἔμπαλιν αἰδομένη, σφετέροις δ' ἐπεμέμφετο μύθοις
λείανδρος δὲ πόθου βεβολημένος ὀξέϊ κέντρῳ,
φράζετο πῶς κεν ἔρωτος ἀεθλεύσειεν ἀγῶνα.
ἄνδρα γὰρ αἰολόμητις ἔρως βελέεσσι δαμάζει,
καὶ πάλιν ἀνέρος ἕλκος ἀκέσσεται. οἷσι δ' ἀνάσσει
αὐτὸς ὁ πανδαμάτωρ βουληφόρος ἐστὶ βροτοῖσιν.
αὐτὸς καὶ ποθέοντι τότε χραίσμησε λεάνδρῳ.

ὀψὲ

Verecundiæ madidum ruborem stillans à facie.
Hospes tuis uerbis forsan & petram moueres.
Quis te uariorum uerborum docuit uias?
Hei mihi, quis te duxit meam ad patriam terram?
Hæc autem omnia frustra locutus es, quomodo enim uagus
Hospes cum sis, & infidus, meo amori misceäris?
Manifeste non possumus nuptijs legitimis coniungi.
Non enim meis parentibus placet, si autem uoles
Vt hospes profugus mea in patria manere,
Non potes tenebrosam abscondere Venerem.
Lingua enim hominum amica conuicij. in silentio autem
Opus quod perficit aliquis, in triuijs audit.
Dic uero ne celes tuum nomen, & tuam patriam.
Non enim meum te lateat, mihi nomen inclytum Ero.
Turris autem circumsona, mea domus altissima.
Qua inhabitans cum ancilla quadam sola
Sestiensem ante urbem, supra profundas undas
Vicinum mare habeo inuisis consilijs parentum.
Neq; me prope sunt coëtaneæ, neq; choreæ
Iuuenum adsunt, semper autem nocte & die
Ex mari uentoso insonat auribus sonitus.
Sic fata, roseam sub ueste celabat genam
Rursus pudore affecta, suis autem accusabat uerbis.
Leander autem amoris percussus acuto stimulo,
Cogitabat quomodo amoris exerceret certamen.
Virum enim uarius consilijs amor sagittis domat,
Et rursus uiri uulnus medicatur. quibus autem dominatur
Ipse omnidomitor consultor est mortalibus.
Ipse etiam amanti auxiliatus est Leandro.

tandem

ὀψὲ δ' ἀλαστήσας πολυμήχανον ἔννεπε μῦθον.
Παρθένε σὸν δὶ ἔρωτα καὶ ἄγριον οἶδμα περήσω
εἰ πυρὶ παφλάζοιτο καὶ ἄπλοον ἔσσεται ὕδωρ.
οὐ τρομέω βαρὺ χεῦμα τεὴν μετανεύμενος εὐνὴν,
οὐ βρόμον ἠχήεντα βαρυδούποιο θαλάσσης,
ἀλλ' αἰεὶ κατὰ νύκτα φορεύμενος ὑγρὸς ἀκοίτης
νήξομαι ἑλλήσποντον ἀγάῤῥοον. οὐχ ἑκὰς γὰρ
ἀντία σοῖο πόληος ἔχω πτολίεθρον ἀβύδου.
μοῦνον ἐμοὶ ἕνα λύχνον ἀπ' ἠλιβάτου σέο πύργου
ἐκ περάτης ἀνάφαινε κατὰ κνέφας, ὄφρα νοήσας
ἔσσομαι ὁλκὰς ἔρωτος, ἔχων σέθεν ἀστέρα λύχνον,
καί μιν ὀπιπτεύων οὐκ ὄψομαι δύοντα βοώτην
οὐ θρασὺν ὠρίωνα καὶ ἄβροχον ὁλκὸν ἀμάξης,
πατρίδος ἀντιπόροιο ποτὶ γλυκὺν ὅρμον ἱκοίμην,
ἀλλὰ φίλη πεφύλαξο βαρυπνείοντας ἀήτας
μή μιν ἀποσβέσσωσι, αὐτίκα θυμὸν ὀλέσσω
λύχνον ἐμοῦ βιότοιο φαεσφόρον ἡγεμονῆα.
εἰ ἐτεὸν δὲ θέλεις ἐμὸν οὔνομα καὶ σὺ δαῆναι,
οὔνομά μοι λέανδρος ἐϋστεφάνου πόσις ἡροῦς.
Ὡς οἱ μὲν κρυφίοισι γάμοις συνέθεντο μιγῆναι.
καὶ νυχίην φιλότητα, καὶ ἀγγελίην ὑμεναίων,
λύχνου μαρτυρίῃσιν ἐπιστώσαντο φυλάσσαι,
ἡ μὲν, φάος τανύειν, ὁ δὲ κύματα μακρὰ περῆσαι
παννυχίδας δ' ἀνύσαντες ἀκοιμήτων ὑμεναίων,
ἀλλήλων ἀέκοντες ἐνοσφίσθησαν ἀνάγκη,
ἡ μὲν ἑὸν ποτὶ πύργον, ὁ δ' ὀρφναίην ἀνὰ νύκτα
μή τι παραπλάζοιτο λαβὼν συνθήματα πύργου,
πλῶε βαθυκρήπιδος ἐπ' εὔρεα δῆμον ἀβύδου.
παννυχίων δ' ὀάρων κρυφίους ποθέοντες ἀέθλους,

πολλὰ

Tandem autem ingemens, percalidum dixit uerbum.
Virgo tuum propter amorem, & asperā undam trāsibo,
Si igni ferueat, & innauigabilis erit aqua.
Non timeo grauem undam tuum adiens cubile,
Non fremitum resonantem grauis murmur maris.
Sed semper per noctem portatus madidus maritus
Nauigabo Hellespontum ualde fluentem. non longe enim
Contra tuam urbem habeo oppidum Abydi.
Tantum mihi unam lucernam ab excelsa tua turri
E regione ostende in tenebris, ut intuens
Sim nauis amoris, habens tuum stellam lychnum,
Atq; ipsum aspiciens ne uideam occidentem Booten
Nec asperum Orionem ac immadidam tractionem currus,
Patriæ obuiæ ad dulcem portum uenirem.
Sed chara caue grauiter flanteis uentos,
Ne ipsum extinguant. & statim animam perdam
Lychnum meæ uitæ luciferum ducem.
Si uere autem uis meum nomen tu scire,
Nomen mihi Leander benecomptæ coniunx Erûs
Sic ij quidem clandestinis nuptijs componebant miseri,
Et nocturnam amicitiam, & nuncium nuptiarum
Lucernæ testimonijs pacti sunt seruare,
Illa quidem lucē extendere, hic aūt undas longas transire:
Pernoctationes autem experti uigilum nuptiarum
A se inuiti separati sunt necessitate.
Hæc quidem suam ad turrim, hic aūt obscuram per noctem,
Ne quid erraret iaciens signa turris,
Nauigabat profundi fundamenti ad latum populum Abydi
Totamq; noctem coniugū clandestina desiderātes certamina

Sæpe

πολλάκις ἠρήσαντο μολεῖν θαλαμηπόλον ὄρφνην,
ἤδη κυανόπεπλος ἀνέδραμε νυκτὸς ὀμίχλη,
ἀνδράσιν ὕπνον ἄγουσα καὶ οὐ ποθέοντι λεάνδρῳ.
ἀλλὰ πολυφλοίσβοιο παρ' ἠιόνεσσι θαλάσσης
ἀγγελίην ἀνέμιμνε φαεινομένων ὑμεναίων,
μαρτυρίην λύχνοιο πολυκλαύτοιο δοκεύων,
εὐνῆς τε κρυφίης τηλεσκόπον ἀγγελιώτην.
ὡς δ' ἴδε κυανέης λιποφεγγέα νυκτὸς ὀμίχλην,
ἡρὼ λύχνον ἔφαινεν. ἀναπτομένοιο δὲ λύχνου
θυμὸν ἔρως ἔφλεξεν ἐπειγομένοιο λεάνδρου.
λύχνῳ καιομένῳ συνεκαίετο. πὰρ δὲ θαλάσσης
μαινομένων ῥοθίων πολυηχέα βόμβον ἀκούων,
ἔτρεμε μὲν τὸ πρῶτον. ἔπειτα δὲ θάρσος ἀείρας
τοίοισι προσέλεκτο παρηγορέων φρένα μύθοις.

Δεινὸς ἔρως, καὶ πόντος ἀμείλιχος, ἀλλὰ θαλάσσης
ἐστὶν ὕδωρ. τὸ δ' ἔρωτος ἐμὲ φλέγει ἐνδόμυχον πῦρ.
λάζεο πῦρ κραδίη, μὴ δείδιθι νήχυτον ὕδωρ.
δεῦρό μοι εἰς φιλότητα. τί δὴ ῥοθίων ἀλεγίζεις,
ἀγνώσσεις ὅτι κύπρις ἀπόσπορός ἐστι θαλάσσης,
καὶ κρατέει πόντοιο καὶ ἡμετέρων ὀδυνάων;

Ὣς εἰπὼν μελέων ἐρατῶν ἀπεδύσατο πέπλον
ἀμφοτέραις παλάμῃσιν. ἑῷ δ' ἔσφιγξε καρήνῳ.
ἠιόνος δ' ἐξῶρτο. δέμας δ' ἔρριψε θαλάσσῃ.
λαμπομένου δ' ἔσπευδεν ἀεὶ κατεναντία λύχνου
αὐτὸς ἐὼν ἐρέτης. αὐτόστολος, αὐτόματος νηῦς.

ἡρὼ δ' ἠλιβάτοιο φαεσφόρος ὑψόθι πύργου
λευγαλέης αὔραισιν ὅθεν πνεύσειεν ἀήτης
φάρεϊ πολλάκι λύχνον ἐπέσκεπεν. εἰσόκε σηστοῦ
πολλὰ καμὼν λείανδρος ἔβη ποτὶ ναύλοχον ἀκτὴν

καὶ

Sæpe optarunt uenire cubiculum ornantem noctem
Iam atrata cucurrit noctis caligo,
Viris somnum afferens, & non amanti Leandro.
Sed multifremi apud littora maris
Nuncium expectabat lucentium nuptiarum.
Testimonium lucernæ lugubris expectans,
Lectiq; clandestini procul speculantem nuncium.
Vt uero uidit nigræ obscuram noctis caliginem,
Ero lucernam ostendit, accensa uero lucerna
Animum cupido exussit festinantis Leandri,
Lucerna ardente coardebat: apud uero mare
Insanarum undarum multisonum fremitum audiens,
Tremebat quidem primum. postea autē audaciam excitans
Talibus alloquebatur, consolans mentem, uerbis.
Grauis amor, & mare implacabile. sed maris
Est aqua, uerum amoris me urit intestinus ignis.
Assume ignem cor, ne time effusam aquam.
Ades mihi in amorem, cur fluctus curas?
Ignoras quòd Venus nata est è mari,
Et dominatur ponto, & nostris doloribus?
Sic fatus, membra amabilia exuit uestem
Ambabus manibus, suoq; astrinxit capiti,
Littoreq; exiluit, corpusq; deiecit in mare,
Splendentemq; festinabat semper aduersus lucernam
Ipse remex, ipse classis, ipse sibi nauis.
Ero autem alta lucifera super turri,
Perniciosis auris undecunq; spiraret uentus
Veste sæpe lucernam tegebat, donec Sesti
Multum fatigatus Leander iuit ad portuosum littus,

καί μιν ἑὸν ποτὶ πύργον ἀνήγαγεν, ἐκ δὲ θυράων
νυμφίον ἀσθμαίνοντα περιπτύξασα σιωπῇ,
ἀφροκόμους ῥαθάμιγγας ἔτι στάζοντα θαλάσσης
ἤγαγε νυμφοκόμοιο μυχοὺς ἐπὶ παρθενεῶνος,
καὶ χρόα πάντα κάθηρε. δέμας δ' ἔχρισεν ἐλαίῳ
εὐόδμῳ ῥοδέῳ. καὶ ἁλίπνοον ἔσβεσεν ὀδμήν.
εἰσέτι δ' ἀσθμαίνοντα βαθυστρώτοις ἐνὶ λέκτροις
νυμφίον ἀμφιχυθεῖσα φιλήνορας ἔννεπε μύθους.
Νυμφίε πολλὰ μόγησας, ἃ μὴ πάθε νυμφίος ἄλλος.
νυμφίε πολλὰ μόγησας, ἅλις νύ τοι ἁλμυρὸν ὕδωρ
ὀδμή τ' ἰχθυόεσσα βαρυγδούποιο θαλάσσης,
δεῦρο τεοὺς ἱδρῶτας ἐμοῖς ἐνὶ κάτθεο κόλποις.
Ὣς ἡ μὲν τοῦτ' εἶπεν. ὁ δ' αὐτίκα λύσατο μίτρην.
καὶ θεσμῶν ἐπέβησαν ἀριστονόου κυθερείης.
ἦν γάμος, ἀλλ' ἀχόρευτος. ἔην λέχος, ἀλλ' ἄτερ ὕμνων.
οὐ ζυγίην ἥρην τις ἐπευφήμησεν ἀοιδός,
οὐ δαΐδων ἤστραπτε σέλας θαλαμηπόλον εὐνήν,
οὐδὲ πολυσκάρθμῳ τις ἐπεσκίρτησε χορείῃ,
οὐχ ὑμέναιον ἄεισε πατὴρ καὶ πότνια μήτηρ,
ἀλλὰ λέχος στορέσασα τελεσιγάμοισιν ἐν ὥραις
σιγὴ παστὸν ἔπηξεν, ἐνυμφοκόμησε δ' ὀμίχλη,
καὶ γάμος ἦν ἀπάνευθεν ἀειδομένων ὑμεναίων.
νὺξ μὲν ἔην κείνοισι γαμοστόλος, οὐδέ ποτ' ἠὼς
νυμφίον εἶδε λέανδρον ἀριγνώτοις ἐνὶ λέκτροις.
νήχετο δ' ἀντιπόροι πάλιν ποτὶ δῆμον ἀβύδου
ἐννυχίων ἀκόρητος ἔτι πνείων ὑμεναίων.
ἡρὼ δ' ἑλκεσίπεπλος ἑοὺς λήθουσα τοκῆας
παρθένος ἠματίη, νυχίη γυνή. ἀμφότεροι δὲ
πολλάκις ἠρήσαντο κατελθέμεν εἰς δύσιν ἠῶ.

Ὣς οἱ

Et ipsum suam ad turrim adduxit: ex ianuis uero
Sponsum anhelantem complexa silentio,
Spumeas ex capillis guttas adhuc stillantem maris
Duxit sponsam ornantis ad penetralia uirginalis cubiculi,
Et cutem totam abstersit, corpusq; unxit oleo
Beneolenti rosco, & mareolentem extinxit odorem.
Adhuc autem anhelantem altestratis in lectis
Sponsum circunfusa, blanda emisit uerba.
Sponse multum laborasti, quæ non passus est sponsus alius.
Sponse multum laborasti, satis tibi est salsa aqua
Fœtorq; piscosus frementis maris.
Huc tuos sudores in meos pone sinus,
Sic illa hæc locuta est. ille uero statim soluit zonam,
Et leges inierunt beneuolæ Veneris.
Erant nuptiæ, sed sine choreis. erat lectus, sed sine hymnis.
Non coniugium sacrum quisquam laudauit poëta,
Non tædarum illuminat lux cubicularium lectum,
Neq; peragili quisquam insiluit chorea.
Non hymenæum cantauit pater, & ueneranda mater.
Sed lectum sternens perficientibus nuptias in horis
Silentium thalamum fixit, sponsam uero ornauit caligo,
Et nuptiæ erant longe à canendis hyemenæis
Nox quidem erat illis nuptiarum ornatrix, nunquã aurora
Sponsum uidit Leandrum manifestis in lectis.
Nauigabat autem è regione positi rursus ad populum Abydi
Nocturnos insatiabilis adhuc spirans hymenæos
Ast Ero longa induta ueste suos latens parentes
Virgo diurna, nocturna mulier. utriq; autem
Sæpe optarunt descendere ad occasum auroram.

Ὣς οἱ μὲν φιλότητος ὑποκλέπτοντες ἀνάγκην,
κρύπταδίη τέρποντο μετ' ἀλλήλων κυθερείη,
ἀλλ' ὀλίγον ζώεσκον ἐπὶ χρόνον, οὐδέ τι δηρὸν
ἀλλήλων ἀπόναντο πολυπλάγκτων ὑμεναίων.
ἀλλ' ὅτε παχνήεντος ἐπήλυθε χείματος ὥρη
φρικαλέας δονέουσα πολυστροφάλιγγας ἀέλλας
βένθεα δ' ἀστήρικτα καὶ ὑγρὰ θέμεθλα θαλάσσης
χειμέριοι πνείοντες ἐπεστυφέλιζον ἀῆται
λαίλαπι μαστίζοντες ὅλην ἅλα. τυπτομένης δὲ,
ἤδη νῆα μέλαιναν ἐπέκλασε διχθάδι χέρσῳ,
χειμερίην καὶ ἄπιστον ἀλυσκάζων ἅλα ναύτης.
ἀλλ' οὐ χειμερίης σε φόβος κατέρυκε θαλάσσης,
καρτερόθυμε λέανδρε. διακτορίη δέ σε πύργου,
ἠθάδα σημαίνουσα φαεσφορίην ὑμεναίων,
μαινομένης σ' ὤτρυνεν ἀφειδήσαντα θαλάσσης,
νηλειὴς καὶ ἄπιστος. ὄφελλε δὲ δύσμορος ἡρὼ,
χείματος ἱσταμένοιο μένειν ἀπάνευθε λεάνδρου
μηκέτ' ἀναπτομένη μινυώριον ἀστέρα λέκτρων,
ἀλλὰ πόθος καὶ μοῖρα βιήσατο. θελγομένη δὲ,
μοιράων ἀνέφαινε καὶ οὐκέτι δαλὸν ἐρώτων.

Νὺξ ἦν εὖτε μάλιστα βαρυπνείουσιν ἀῆται
χειμερίης πνοιῇσιν ἀκοντίζοντες ἀῆται,
ἀθρόον ἐμπίπτουσιν ἐπὶ ῥηγμῖνι θαλάσσης.
δὴ τότε λείανδρος ποθέων ἐθήμονος ἐλπίδι νύμφης,
δυσκελάδων πεφόρητο θαλασσαίων ὑμεναίων.
ἤδη κύματι κῦμα κυλίνδετο, σύνθετο δ' ὕδωρ,
αἰθέρι μίσγετο πόντος, ἀνέγρετο πάντοθεν ἡ γῆ
μαρναμένων ἀνέμων. ζεφύρῳ δ' ἀντέπνεεν εὖρος,
καὶ νότος εἰς βορέην μεγάλας ἐφέηκεν ἀπειλάς.

καὶ

Sic ij quidem amoris abſcondentes uim,
Occulta delectabantur inter ſe Venere.
Sed paruum uixerunt in tempus, neq; diu
Inuicem potiti ſunt multiuagis nuptijs.
Sed quando pruinoſæ uenit hyemis hora,
Horrendas commouens multarum uortiginum procellas
Profunditatesq; infirmas, & madida fundamenta maris
Hyemales ſpirantes uerberabant uenti,
Nimbo percutientes totum mare, uerberato autem
Iam nauem nigram fregit bipertita terra
Hyemale & infidum effugiens mare nauta.
Sed non hyemalis te timor coërcebat maris
Fortanime Leander, nuncius ſed te turris
Conſuetam ſignificans lucem nuptiarum,
Furentis te impulit ſecurum maris
Crudelis & perfidus. debebat autem infelix Ero
Hyeme inſtante manere ſine Leandro,
Non amplius accedens indicem ſtellam lectorum.
Sed amor & fatum cogebat. geſtiens autem
Parcarum oſtendebat non amplius ſtipitem amorum.
Nox erat, cum maxime ſpiranteis uentos
Hyemalibus flatibus iaculantes uenti
Collectim irruunt in littus maris.
Tunc Leander conſuetæ ſpe ſponſæ
Perſonantium ferebatur marinarum nuptiarum.
Iam ab unda uoluebatur, accumulabatur uero aqua.
Aetheri miſcebatur mare, concitata eſt undiq; terra
Pugnantibus uentis, Zephyro autem contraſpirabat Eurus
Et notus in Boream magnas immiſit minas.

καὶ κτύπος ἦν ἀλίαστος ἐρισμαράγοιο θαλάσσης,
αἰνοπαθὴς δὲ λέανδρος ἀκηλήτοις ἐνὶ δίναις
πολλάκι μὲν λιτάνευε θαλασσαίην ἀφροδίτην,
πολλάκι δ' αὐτὸν ἄνακτα ποσειδάωνα θαλάσσης,
ἀτθίδος οὐ βορέην ἀμνήμονα κάλλιπε νύμφης,
ἀλλά οἱ οὔτις ἄρηγεν. ἔρως δ' οὐκ ἤρκεσε μοίρας.
πάντοθι δ' ἀγρομένοιο δυσαντέϊ κύματος ὁρμῇ
θρυπτόμενος πεφόρητο. ποδῶν δέ οἱ ὤκλασεν ὁρμή,
καὶ σθένος ἦν ἀδόνητον ἀκοιμήτων παλαμάων,
πολλὴ δ' αὐτόματος χύσις ὕδατος ἔρρεε λαιμῷ,
καὶ ποτὸν ἀχρήϊστον ἀμαιμακέτου πίεν ἅλμης.
καὶ δὴ λύχνον ἄπιστον ἀπέσβεσε πικρὸς ἀήτης
καὶ ψυχὴν καὶ ἔρωτα πολυκλαύτοιο λεάνδρου.
Εἰσέτι δ' ἰθύνοντος, ἐπ' ἀγρύπνοισιν ὀπωπαῖς
ἵστατο κυμαίνουσα πολυκλαύτοισι μερίμναις.
ἤλυθε δ' ἠριγένεια καὶ οὐκ ἴδε νυμφίον ἡρώ.
πάντοθι δ' ὄμμα τίταινεν ἐπ' εὐρέα νῶτα θαλάσσης
εἴπου ἐσαθρήσειεν ἀλώμενον ὃν παρακοίτην.
λύχνου σβεννυμένοιο, παρὰ κρηπῖδα δὲ πύργου
θρυπτόμενον σπιλάδεσσιν ὅτ' ἔδρακε νεκρὸν ἀκοίτην
δαιδάλεον ῥήξασα περὶ στήθεσσι χιτῶνα,
ῥοιζηδὸν προκάρηνος ἀπ' ἠλιβάτου πέσε πύργου
κὰδ δ' ἡρὼ τέθνηκεν ἐπ' ὀλλυμένῳ παρακοίτῃ,
ἀλλήλων δ' ἀπόναντο καὶ ἐν πυμάτῳ περ ὀλέθρῳ


ΜΟΥΣΑΙΟΥ
τέλος.

Et fragor fuit ineuitabilis ualde fremi maris
Grauia autem passus Leander, implicabilibus in littoribus
Sæpe quidem precabatur æquoream Venerem,
Sæpe autem & ipsum regem Neptunum maris
Atthææ non Boream immemorem reliquit puellæ
Sed ei nullus auxiliatus est, amor autem non coërcuit fata
Vndiq; autem accumulati malo obuio fluctus impetu
Contritus ferebatur. pedum autem eius defecit uigor.
Et uis fuit immobilis inquietarum manuum.
Multa autem spontanea effusio fluebat in guttur,
Et potum inutilem indomabilis potauit maris,
Et iam lucernam infidam extinxit amarus uentus,
Et animam & amorem deflendi Leandri.
Cum adhuc autem dirigeret iter, uigilibus oculis
Stabat fluctuans miseris curis,
Venit autem aurora, & non uidit sponsum Ero,
Circumquaq; autem oculum dirigebat in lata dorsa maris,
Sicubi uideret errantem maritum.
Lucerna extincta, apud fundamentum turris
Obtritum procellis cum uidisset mortuum maritum,
Variam populata circa pectus uestem,
In fluctus præceps ab excelsa cecidit turre,
Ero commortua ob eum qui perierat coniugem.
Se inuicem autem fruiti sunt etiam in suprema morte

MVSAEI FINIS.

ΕΚΘΕΣΙΣ ΚΕΦΑΛΑΙΩΝ ΠΑΡΑΙΝΕτικῶν, σχεδιασθεῖσα παρὰ ἀγαπητοῦ διακόνου τῆς ἁγιωτάτης τοῦ θεοῦ μεγάλης ἐκκλησίας. ὧν ἡ ἀκροστιχὶς ὧδέ πως ἔχει.

Τῷ θειοτάτῳ, καὶ εὐσεβεστάτῳ βασιλεῖ ἡμῶν Ἰουστινιανῷ, ἀγαπητὸς ὁ ἐλάχιστος διάκονος.



1 Τιμῆς ἁπάσης ὑπέρτερον ἔχων ἀξίωμα βασιλεῦ, τίμα ὑπὲρ ἅπαντας τὸν τοῦτό σε ἀξιώσαντα θεόν. ὅτι καὶ καθ' ὁμοίωσιν τῆς ἐπουρανίου βασιλείας, ἔδωκέ σοι τὸ σκῆπτρον τῆς ἐπιγείου δυναστείας, ἵνα τοὺς ἀνθρώπους διδάξῃς τὴν τοῦ δικαίου φυλακήν, καὶ τῶν κατ' αὐτοῦ λυσσώντων ἐκδιώξῃς τὴν ὑλακήν, ὑπὸ τῶν αὐτοῦ βασιλευόμενος νόμων, καὶ τῶν ὑπὸ σὲ βασιλεύων ἐννόμως.

2 Ὡς κυβερνήτης ἀγρυπνεῖ διαπαντὸς ὁ τοῦ βασιλέως πολυόμματος νοῦς, διακατέχων ἀσφαλῶς τῆς εὐνομίας τοὺς οἴακας, καὶ ἀπωθούμενος ἰσχυρῶς τῆς ἀνομίας τοὺς ῥύακας, ἵνα τὸ σκάφος τῆς παγκοσμίου πολιτείας μὴ περιπίπτῃ κύμασιν ἀδικίας.

3 Θεῖον μάθημα καὶ πρῶτον οἱ ἄνθρωποι, τὸ γνῶναί τινα ἑαυτὸν διδασκόμεθα. ὁ γὰρ ἑαυτὸν γνοὺς, γνώσεται θεόν. θεὸν δὲ ὁ γνοὺς, ὁμοιωθήσεται θεῷ. ὁμοιωθήσεται δὲ θεῷ, ὁ ἄξιος γινόμενος θεοῦ. ἄξιος δὲ

γίνεται

EXPOSITIO CAPITVM ADMO-nitoriorum, edita ex tempore ab Agapeto Diacono sanctissimæ dei magnæ ecclesiæ. Quorũ apex literarius sicpote habet.

Diuo & piẽtissimo imperatori nostro Iustiniano, Agapetus minimus Diaconus.



HONORE quolibet sublimiorem 1
quũ habeas dignitatẽ, ô impera-
tor, honoras supra oẽs qui hoc
te dignatus est deũ. quoniam iu-
xta similitudinem cœlestis regni tradidit tibi sceptrum terrenæ potestatis, ut homines edoceres iusti custodiam, & eorum qui aduersus ipsum rabiunt insectareris latratum, tum ipsius obtemperando legibus, tum subditos tibi tegendo pro iure.

Ceu gubernator uigilat perpetuo imperato 2
ris oculatissimus intellectus, cõtinẽs tuto ęquitatis clauos, atq; expellens fortiter impetuosos iniquitatis fluctus, ut ne cymba mundanæ reipub. illidatur fluctibus iniquitatis.

Diuinũ documentũ & potissimũ nos homi- 3
nes ut cognoscat se quisq; docemur, qui enim seipsum cognouit, cognoscet deum: deũ uero qui cognouit, assimilabitur deo: assimilabitur aũt deo, q dignus factus deo est, dignus deniq;

γίνεται θεοῦ, ὁ μηδὲν ἀνάξιον πράττων θεοῦ, ἀλλὰ φρονῶν μὲν τὰ αὐτοῦ, λαλῶν δὲ ἃ φρονεῖ, ποιῶν δὲ ἃ λαλεῖ.

4 Ἐπὶ προγόνων εὐγενείᾳ μηδεὶς ἐναβρυνέσθω, πηλὸν γὰρ ἔχουσι πάντες τοῦ γένους προπάτορα, καὶ οἱ ἐν πορφύρᾳ καὶ βύσσῳ καυχώμενοι, καὶ οἱ ἐν πενίᾳ καὶ νόσῳ τρυχώμενοι, καὶ οἱ διαδήματα περικείμενοι, καὶ οἱ διὰ δώματα προκείμενοι. μὴ τοίνυν εἰς πήλινον ἐγκαυχώμεθα γένος, ἀλλ' ἐπὶ χρηστότητι σεμνυνώμεθα τρόπων.

5 Ἴσθι ὦ εὐσεβείας θεότευκτον ἄγαλμα, ὅτι ὅσῳ μεγάλων ἠξιώθης παρὰ θεοῦ δωρεῶν, τοσούτῳ μείζονος ἀμοιβῆς ὀφειλέτης ὑπάρχεις αὐτῷ. οὐκοῦν ἀπόδος τῷ εὐεργέτῃ τὸ χρέος τῆς εὐχαριστίας, τῷ λαμβάνοντι τὸ χρέος ὡς χάριν, καὶ τὴν χάριτος χάριν ἀντιδιδόντι. αὐτὸς γὰρ ἀεὶ καὶ χαρίτων ἄρχει, καὶ ὡς χρέος τὰς χάριτας ἀποδίδωσιν. εὐχαριστίαν δὲ ζητεῖ παρ' ἡμῶν, οὐ τὴν διὰ ῥημάτων ἀγαθῶν προσφοράν, ἀλλὰ τὴν διὰ πραγμάτων εὐσεβῶν προσφοράν.

6 Οὐδὲν οὕτως εὐδόκιμον ἐργάζεται ἄνθρωπον, ὡς δύνασθαι μὲν ἃ βούλεται πράττειν, ἀεὶ δὲ φιλάνθρωπα καὶ βούλεσθαι καὶ πράττειν. ἐπειδὴ τοίνυν ἐκ θεοῦ σοι κεχάρισται δύναμις, ἧς ἐδεῖτο δι' ἡμᾶς ἡ ἀγαθὴ σου βούλησις, πάντα καὶ βούλου, καὶ πράττε, ὡς ἀρέσκει τῷ ταύτην σοι δεδωκότι.

7 Τῶν ἐπιγείων χρημάτων ὁ ἄστατος πλοῦτος, τῶν ποταμίων ῥευμάτων μιμεῖται τὸν δρόμον. πρὸς ὀλίγον προσεπιρρέων τοῖς ἔχειν νομίζουσι. μετ' ὀλίγον δὲ παραρρέων, εἰς ἄλλους ἀπέρχεται. μόνος δὲ τῆς

εὐποι-

fit deo,qui nihil indignũ patrat deo,ſed qui ut cogitat quæ ipſius ſunt, ita tam loquitur quæ cogitat,quàm facit quæ loquitur.

Maiorũ nobilitate ne quis delicietur. Limũ 4
enim habent omnes generis autorẽ,& qui purpura byſſoq; turgẽt,& q paupertate & aduerſa ualetudine affligunt̃,tam qui diademate redimiti ſunt,q̃ qui per cubicula excubant. Ne igitur lutulentũ iactemus genus, ſed morum integritate gloriemur.

Scito ô pietatis diuinitus fabricatũ ſpecimẽ, 5
q̃a quãto maiorib. dignus habitus es tribuẽte deo muneribꝰ,tanto maius ipſi nomẽ es. Ergo redde bñfactori debitũ gratitudinis, acceptãti debitũ ut meritũ,& beneficio beneficiũ rependenti: ipſe enim ſemper & beneficijs prior promeret̃,& ut debitũ bñficia repenſat. Gratitudinẽ aũt exigit à nobis,nõ quę uerborũ blãdorũ ꝓlatione,ſed quę rerũ piarũ oblatione peragit̃.

Nulla res adeo cõmendabilem reddit homi 5
nem ut poſſe quidẽ quæ uelit efficere: ſemper autẽ humana & uelle, & agere Quoniam igit̃ à deo tibi donata eſt facultas, qua indigebat propter nos bona tua uoluntas,omnia & uelis & agas,prout ei placet,qui eam tibi dedit.

Terrenarũ opum inſtabiles diuitiæ, fluuia- 7
tilium undarũ imitãtur curſum. Modicũ enim affluunt his qui habere ſe eas arbitrantur,mox uero refluentes ad alios accedũt. Solus autem benefi

εὐποιΐας ὁ θησαυρός, μόνιμός ἐστι τοῖς κεκτημένοις αὐτόν. τῶν γὰρ ἀγαθῶν ἔργων αἱ χάριτες ἐπὶ τοὺς ποιοῦντας ἐπαναστρέφουσιν.

8 Ἀπρόσιτος μὲν ὑπάρχεις ἀνθρώποις, διὰ τὸ ὕψος τῆς κάτω βασιλείας. εὐπρόσιτος δὲ γίνου τοῖς δεομένοις, διὰ τὸ κράτος τῆς ἄνω ἐξουσίας. καὶ ἀνοίγεις τὰ ὦτα τοῖς ὑπὸ πενίας πολιορκουμένοις, ἵνα εὕρῃς τὴν τοῦ θεοῦ ἀκοὴν ἀνεῳγμένην. οἷοι γὰρ ἂν τοῖς ἡμετέροις γενώμεθα συνδούλοις, τοιοῦτον περὶ ἡμᾶς εὑρήσομεν τὸν δεσπότην.

9 Τὴν πολυμέριμνον τοῦ βασιλέως ψυχήν, κατόπτρου δίκην ἀποσμήχεσθαι χρή, ἵνα ταῖς θείαις αὐγαῖς ἀεὶ καταστράπτηται, καὶ τῶν πραγμάτων τὰς κρίσεις ἐκεῖθεν διδάσκηται. οὐδὲν γὰρ οὕτω ποιεῖ τὰ δέοντα καθορᾶν, ὡς τὸ φυλάσσειν ἐκείνην διὰ παντὸς καθαράν.

10 Ὥσπερ ἐπὶ τῶν πλεόντων, ὅταν μὲν ὁ ναύτης σφαλῇ, μικρὰν φέρει τοῖς συμπλέουσι βλάβην. ὅταν δὲ αὐτὸς ὁ κυβερνήτης, παντὸς ἐργάζεται τοῦ πλοίου ἀπώλειαν. οὕτω καὶ ἐν ταῖς πόλεσιν, ἂν μέν τις τῶν ἀρχομένων ἁμάρτῃ, οὐ τὸ κοινὸν τοσοῦτον, ὅσον ἑαυτὸν ἀδικεῖ. ἂν δὲ αὐτὸς ὁ ἄρχων, πάσης ἐργάζεται τῆς πολιτείας τὴν βλάβην. ὡς οὖν μεγάλας ὑφέξων εὐθύνας, εἴ τι παρείδοι τῶν δεόντων, μετὰ πολλῆς ἀκριβείας καὶ λεγέτω πάντα, καὶ πραττέτω.

11 Κύκλος τις τῶν ἀνθρωπίνων περιτρέχει πραγμάτων, ἄλλοτε ἄλλως φέρων αὐτά, καὶ περιφέρων. καὶ τούτοις ἀνισότης ἐστί, τὸ μηδὲν τῶν παρόντων ἐν ταυτότητι μένειν. δεῖ οὖν σε κράτιστε βασιλεῦ ἐν τῇ τούτων

ἀγχι

beneficentiæ thesaurus stabilis est possidentibus eum. bonarum enim actionum meritum ad autores retorquetur.

Inaccessus nimirũ ex istis hominib. propter celsitudinẽ huius, q̃ hic deorsum est imperij. facilis idẽ aditu es indigentib. ob uim supernę illius potestatis. atq; aperis aureis his qui à paupertate obsidentur, ut inuenias dei auditũ adapertum. quales enim erga nostros fuerimus cõseruos, talem circa nos reperiemus dominũ.

Solicitã Imperatoris animã, speculi in modũ abstergi oportet, ut diuinis splẽdorib. semper coruscet, rerumq; distincta iudicia inde cõdiscat. nihil enim adeò facit quæ peragenda sunt cõspicere, atq; custodire eam ꝑpetuo syncerã. 9

Sicuti fit apud nauigantes, quũ nauta errat modicũ, affert nauigãtib. nocumẽtũ. quũ uero ipse gubernator, totiꝰ efficit nauigij ꝑniciẽ: sic & in ciuitatibus, siquis ex subditis peccet, non tam remp. q̃ seipsum lædit. sin uero ipse princeps, uniuersæ infert reipu. detrimentũ. is igiẽ ut nõ exiguam redditurus rationẽ, siquid neglexerit eorum quæ facto opus sunt, cũ exquisita diligentia, & dictitet cuncta, & factitet. 10

Circulus quidam humanarũ reuoluitur rerum, qui modo sic, modo aliter agitat ipsas, & circumfert. atq; in his inæqualitas est, eo q̃ nihil ex presentibus in eodẽ statu maneat. oportet igitur te potẽtissime Imperator in hac rerũ 11

ἀγχιστρόφῳ μεταβολῇ, ἀμετάβλητον ἔχειν τὸν εὐσεβῆ λογισμόν.

12 Ἀποστρέφου τῶν κολάκων τοὺς ἀπατηλοὺς λόγους, ὥσπερ τῶν κοράκων τοὺς ἁρπακτικοὺς τρόπους. οἱ μὲν γὰρ, τοὺς τοῦ σώματος ἐξορύττουσιν ὀφθαλμούς. οἱ δὲ τοὺς τῆς ψυχῆς ἐξαμβλώουσι λογισμοὺς, μὴ συγχωροῦντες ὁρᾶν τὴν τῶν πραγμάτων ἀλήθειαν. ἢ γὰρ ἐπαινοῦσιν ἔσθ᾽ ὅτε τὰ ψόγου ἄξια, ἢ ψέγουσι πολλάκις τὰ ἐπαίνων κρείττονα, ἵνα δυοῖν θάτερον αὐτοῖς ἁμαρτάνηται, ἢ τὸ κακὸν ἐπαινούμενον, ἢ τὸ καλὸν ὑβριζόμενον.

13 Ἴσον εἶναι χρὴ πάντοτε τοῦ βασιλέως τὸ φρόνημα. τὸ γὰρ συμμεταβάλλεσθαι ταῖς τῶν πραγμάτων μεταβολαῖς, διανοίας ἀβεβαίου τεκμήριον γίνεται. τὸ δὲ παγίως ἐν τοῖς καλοῖς ἐρηρεῖσθαι, ὡς τὸ εὐσεβὲς ὑμῶν ἐστήρικται κράτος, καὶ μήτε πρὸς ἀλαζονείαν ὑπεραίρεσθαι, μήτε πρὸς ἀθυμίαν καταφέρεσθαι, βεβηκότων ἐστὶν ἀσφαλῶς, καὶ ἀκράδαντον ἐχόντων τὴν ψυχήν.

14 Εἴ τις κεκαθαρμένον ἔχει τὸν λογισμὸν ἐκ τῆς ἀνθρωπίνης ἀπάτης, καὶ βλέπει τὸ οὐτιδανὸν τῆς ἑαυτοῦ φύσεως, τό, τε βραχὺ καὶ ὠκύμορον τῆς ἐνταῦθα ζωῆς, καὶ τὸν συνεζευγμένον τῇ σαρκὶ ῥύπον, εἰς τὸν τῆς ὑπερηφανίας οὐκ ἐμπεσεῖται κρημνὸν, κἂν ἐν ἀξιώματι ὑπάρχῃ ὑψηλῷ.

15 Ὑπὲρ πάντα τῆς βασιλείας τὰ ἔνδοξα, τῆς εὐσεβείας τὸ στέμμα τὸν βασιλέα κοσμεῖ. ὁ γὰρ πλοῦτος ἀπέρχεται, καὶ ἡ δόξα μετέρχεται. τὸ δὲ κλέος τῆς ἐνθέου πολιτείας ἀθανάτοις αἰῶσι συμπαρεκτείνεται, καὶ λήθης

ἐπέκει

uersatili mutatiõe, immutabilẽ habere pietatis (cognitionẽ.
Auersare adulatorũ pellaceis sermões, ut coruorũ rapaceis mores. Illi nanq; corporis effodiunt oculos, isti aũt animę hebetãt cogitat9, quũ nõ pmittãt perspicere rerũ ueritatem: uel ẽm cõmendant nõnunq̃ quę reprehensione digna sunt, uel reprehendũt plerũq; quæ omni laude sunt maiora: ut de duobus alterum ab ipsis cõmittatur, uel prauorum laus, uel contumeliosus bonorum contemptus. 12

13 Aequalẽ oportet semper esse Imperatoris animum: mutari ẽm ꝓ rerũ uarietatibus, mentis instabilis argumẽtũ efficitur. Firmiter aũt bonis inhęrere, qua firmitate piũ uestrũ corroboratũ & fixũ est imperiũ, & neq; usq; ad insolentiam extolli, neq; usq; ad animi cõsternationẽ deiici, in tuta ueluti basi stabilitorum est hominum, animamq; inconcussam habentium.

14 Si quis purũ habet cogitatũ humanę deceptionis, perspicitq; suæ naturæ uilitatẽ, breuitatemq; ueloci fato obnoxię præsentis uitę, tum carni coniunctas insitasq; sordes, ad superbiæ nunq̃ illabetur præcipitiũ, quamuis in excelso dignitatis fastigio consistat

15 Super omnia præclara que regnũ habet, pietatis cultusq; diuini corona regẽ exornat. Diuitiæ nanq; euanescũt, uulgi fauor & aura trãsit. Sola uitę deo placentis gloria immortalib. seculis coextẽditur, & trãs obliuiõis tenebras collocat.

ἐπέκεινα, τοὺς ἔχοντας ἴσησι.

16 Σφόδρα μοι δοκεῖ ἀτοπώτατον εἶναι, ὅτι πλούσιοι καὶ πένητες ἄνθρωποι, ἐξ ἀνομοίων πραγμάτων βλάβην πάσχουσιν ὁμοίαν. οἱ μὲν γάρ, ὑπὸ τοῦ κόρου διαῤῥήγνυνται. οἱ δέ, ὑπὸ τοῦ λιμοῦ διαφθείρονται. καὶ οἱ μέν, κατέχουσι τοῦ κόσμου τὰ πέρατα. οἱ δέ, οὐκ ἔχουσι ποῦ στῆσαι τὰ πέλματα. ἵνα τοίνυν ἄμφω τῆς ὑγείας τύχωσιν, ἀφαιρέσει καὶ προσθέσει τούτους θεραπευτέον, καὶ πρὸς ἰσότητα, τὴν ἀνισότητα μετενεκτέον.

17 Ἐφ' ὑμῖν ἀνεδείχθη τῆς εὐζωίας ὁ χρόνος, ὃν προεῖπέ τις τῶν παλαιῶν ἔσεσθαι, ὅταν ἢ φιλόσοφοι βασιλεύσωσιν, ἢ βασιλεῖς φιλοσοφήσωσι. καὶ γὰρ φιλοσοφοῦντες, ἠξιώθητε βασιλείας. καὶ βασιλεύσαντες οὐκ ἀπέστητε φιλοσοφίας. εἰ γὰρ τὸ φιλεῖν σοφίαν ποιεῖ φιλοσοφίαν, ἀρχὴ δὲ σοφίας ὁ τοῦ θεοῦ φόβος, ὃν ἐν τοῖς στέρνοις ὑμῶν διαπαντὸς ἔχετε, εὔδηλον ὡς ἀληθὲς τὸ παρ' ἐμοῦ λεγόμενον.

18 Βασιλέα σε κατὰ ἀλήθειαν ὁρίζομαι, ὡς βασιλεύειν καὶ κρατεῖν τῶν ἡδονῶν δυνάμενον, καὶ τὸν στέφανον τῆς σωφροσύνης ἀναδησάμενον, καὶ τὴν πορφύραν τῆς δικαιοσύνης ἀμφιασάμενον. ἡ μὲν γὰρ ἄλλη ἐξουσία, τὸν θάνατον ἔχει διαδοχήν. ἡ δὲ τοιαύτη βασιλεία, τὴν ἀθάνατον σώζει διαμονήν. καὶ ἡ μέν, ἐν τῷ αἰῶνι τούτῳ λύεται. ἡ δέ, τῆς αἰωνίου κολάσεως ῥύεται.

19 Εἰ τὴν ἐκ πάντων βούλει καρποῦσθαι τιμήν, γίνου τοῖς ἅπασιν εὐεργέτης κοινός. οὐδὲν γὰρ οὕτω πρὸς εὔνοιαν ἐφέλκεται, ὡς εὐποιίας χάρις διδομένη τοῖς χρήζουσιν. ἡ γὰρ διὰ φόβον γινομένη θεραπεία, και

τεχν-

collocat poſſidẽteis. Vehemẽter mihi uidet̃ 16
abſurdiſſimũ eſſe, ꝙ diuites & pauperes homi
nes ex diſſimilibus rebus detrimentũ ſimile pa
tiuntur. Illi nãq; à copia rerũ perrũpũtur, hi ue
ro fame pereũt. Item illi occupãt ultimos mũdi
terminos, hi nõ habẽt ubi calloſa pedũ ueſtigia
ſiſtãt. Vt igitur utraq; ꝑs ſanitatis fiãt cõpotes
auferẽdo & diminuendo iſtos regere oportet,
atq; ad æqualitatẽ inęqualitas transferẽda eſt.
Noſtris tꝑib9 oſtenſum eſt, ꝓſperæ uitæ tp̃s, 17
ꝙ prædixit ꝗdã ex ueterib9 futurũ, cũ uel phi-
loſophi regnabũt, uel reges philoſophabũt: nã
tũ philoſophãdo digni habiti regno eſtis: tũ ue
ro regnãdo à philoſophia nõ deſciuiſtis. Si em̃
amare ſapiẽtiã efficit philoſophiã, principiũ ãt
ſapiẽtię, dei eſt timor, quẽ in pectorib9 ueſtris
iugiter habetis, clarũ q̃ uerũ ſit ꝙ à me dicitur.
Te reuera Imperatorẽ aſſerimus, quippe ꝗ 18
& imperare ac dominari uoluptatib9 uales, &
tũ corona caſtitatis reuinctus, tũ purpurã iuſti
tiæ indutus incedis. Alijs nanq; poteſtatibus
mors ipſa ſuccedit. Huiuſcemodi uero regnũ
immortalẽ ſeruat perpetuitatẽ. Itẽ aliæ hoc in
ſeculo ſoluuntur, hæc aũt à perpetuo ſupplicio
(liberatur.
Si honore qui ab omnibus pro- 18
ficiſcitur perfrui uis, præſta te communem om
nium benefactorẽ. nihil enim adeo attrahit ad
beneuolentiã, ut bñficij gratia, quæ detur indi
gẽtibus. ꝙ em̃ ob metũ prędtatur obſequiũ, fu-

τεχηματισμένη ἐστὶ θωπεία, πεπλασμένης τιμῆς ὀνόματι φενακίζουσα τοὺς αὐτῇ προσανέχοντας.

20 Σεπτὴ δικαίως ἐστὶν ἡ ὑμῶν βασιλεία, ὅτι τοῖς πολεμίοις μὲν δεικνύει τὴν ἐξουσίαν, τοῖς ὑπηκόοις δὲ νέμει φιλανθρωπίαν. καὶ νικῶσα ἐκείνους τῇ δυνάμει τῶν ὅπλων, τῇ ἀόπλῳ ἀγάπῃ τῶν οἰκείων ἡττᾶται. ὅσον γὰρ θηρίου καὶ προβάτου τὸ μέσον, τοσοῦτον ἀμφοτέρων ἡγεῖται τὸ διάφορον.

21 Τῇ μὲν οὐσίᾳ τοῦ σώματος, ἴσος παντὶ ἀνθρώπῳ ὁ βασιλεύς, τῇ ἐξουσίᾳ δὲ τοῦ ἀξιώματος ὅμοιός ἐστι τῷ ἐπὶ πάντων θεῷ. οὐκ ἔχει γὰρ ἐπὶ γῆς τὸν αὐτοῦ ὑψηλότερον. χρὴ τοίνυν αὐτὸν καὶ ὡς θεὸν μὴ ὀργίζεσθαι, καὶ ὡς θνητὸν μὴ ἐπαίρεσθαι. εἰ γὰρ καὶ εἰκόνι θεϊκῇ τετίμηται, ἀλλὰ καὶ κόνει χοϊκῇ συμπέπλεκται. δι' ἧς ἐκδιδάσκεται τὴν πρὸς πάντας ἰσότητα.

22 Ἀποδέχου τοὺς τὰ χρηστὰ συμβουλεύειν ἐθέλοντας, ἀλλὰ μὴ τοὺς κολακεύειν ἑκάστοτε σπεύδοντας. οἱ μὲν γὰρ τὸ συμφέρον συνορῶσιν ἐν ἀληθείᾳ. οἱ δὲ πρὸς τὰ δοκοῦντα τοῖς κρατοῦσιν ἀφορῶσι, καὶ τῶν σωμάτων τὰς σκιὰς μιμούμενοι, τοῖς παρ' αὐτῶν λεγομένοις συνᾴδουσι.

23 Τοιοῦτος γίνου περὶ τοὺς σοὺς οἰκέτας, οἷον εὔχῃ σοὶ τὸν δεσπότην γενέσθαι. ὡς γὰρ ἀκούομεν ἀκουσθησόμεθα, καὶ ὡς ὁρῶμεν ὁραθησόμεθα ὑπὸ τοῦ θείου καὶ παντεφόρου βλέμματος. προσενέγκωμεν οὖν τῷ ἐλεῷ τὸν ἔλεον, ἵνα τῷ ὁμοίῳ τὸ ὅμοιον ἀντιλάβωμεν.

24 Ὥσπερ τὰ ἀκριβῆ τῶν κατόπτρων τοιαύτας δείκνυσι τὰς προσώπων ἐμφάσεις, οἷά περ ἐστὶ τὰ πρωτότυπα

τότυπα

cata figurataq; est adulatio,ficti honoris titulo fallens eos qui ipsi animum aduertunt.

Venerandũ iure est uestrũ imperiũ, quia hostibus quidem suæ demonstrat potestatis aculeos, subditis uero exhibet humanitatẽ. Et quũ illos uincat amorũ ui, inermi charitate uincitur à suis. Quantũ enim feræ & ouis interstitiũ est, tantum esse inter eos discrimen arbitratur. 20

Essentia corporis æqualis est cuilibet homini Imperator, potestate autẽ dignitatis cunctorum præsidi deo. Non enim habet in terris sequenq; altiorem. Oportet igitur ipsum ut deũ non irasci, ut mortalem nõ offerri. Nam etsi effigie diuina honoratus est, at puluere tamẽ terrena connexus est, quo edocetur, ut erga omnes seruet æqualitatem. 21

Accepta eos qui bonorũ te consiliorum admonitum uolunt, non eos qui adulari sæpenumero student. Illi enim quod reuera expedit, perspiciunt. Hi uero ad ea quæ placent potentibus respiciũt, corporumq; umbras imitãtes, singulis eorum dictis applaudunt. 22

Talẽ te pręsta tuos erga famulos, qualẽ optas erga te dominũ eẽ. Prout enim audim9, audiemur, & ut respicimus, respiciemur à diuino cũctaq; obtuente aspectu. priores igitur nos misericordiæ misericordiã cõferam9, ut pari par re- (cipiamus. 23

Sicut exquisita specula tales mõ- strant uultuũ apparentias, qualia ipsa sunt ar- 24

κάτοπτα, φαιδρὰ μὲν τῶν φαιδρυνομένων, σκυθρωπὰ δὲ τῶν σκυθρωπαζόντων, οὕτω καὶ ἡ δικαία τοῦ θεοῦ κρίσις, ταῖς ἡμετέραις πράξεσιν ἐξομοιοῦται· οἷα περ γὰρ ἂν ᾖ τὰ παρ᾽ ἡμῶν εἰργασμένα, τοιαῦτα ἡμῖν ἐκ τῶν ὁμοίων παρέχει.

25 Βουλεύου μὲν τὰ πρακτέα βραδέως, ἐκτέλει δὲ τὰ κριθέντα σπουδαίως. ἐπεὶ λίαν ἐστὶ σφαλερὸν, τὸ ἐν τοῖς πράγμασιν ἀπερίσκεπτον. εἰ γὰρ τὰ ἐξ ἀβουλίας τις ἐννοήσει κακὰ, τότε γνώσεται καλῶς τῆς εὐβουλίας τὰ χρήσιμα, ὡς καὶ τῆς ὑγείας τὴν χάριν, μετὰ τὴν πεῖραν τῆς νόσου. δεῖ τοίνυν εὐφρονέστατε βασιλεῦ, καὶ βουλῇ συνετωτέρᾳ, καὶ εὐχῇ συντονωτέρᾳ, ἐξερευνᾷν ἀκριβῶς τὰ συνοίσοντα τῷ κόσμῳ.

26 Ἀρίστας διοικήσεις τὴν ἀγαθὴν σου βασιλείαν, εἰ πάντα σπουδάζεις ἐφορᾷν, καὶ μηδὲν ἀνέχῃ παρορᾷν. οὐ γὰρ μικρὸν ἐστὶ, ὅπερ μικρὸν εἶναι δοκεῖ ἐν συγκρίσει τῶν σῶν. ἐπειδὴ καὶ ῥῆμα βασιλέως ψιλὸν, μεγάλην ἔχει παρὰ πᾶσιν ἰσχύν.

27 Σαυτῷ τὴν τοῦ φυλάττειν τοὺς νόμους ἐπίθες ἀνάγκην, ὡς μὴ ἔχων ἐπὶ γῆς τὸν δυνάμενον ἀναγκάζειν. οὕτω γὰρ καὶ τῶν νόμων ἐπιδείξεις τὸ σέβας, αὐτὸς πρὸ τῶν ἄλλων τούτους αἰδούμενος, καὶ τοῖς ὑπηκόοις φανήσεται τὸ παρανομεῖν οὐκ ἀκίνδυνον.

28 Ἴσον τῷ πλημμελεῖν, τὸ μὴ κωλύειν τοὺς πλημμελοῦντας λογίζου. κἂν γάρ τις πολιτεύηται μὲν ἐνθέσμως, ἀνέχηται δὲ τῶν βιούντων ἀθέσμως, συνεργὸς τῶν κακῶν παρὰ θεῷ κρίνεται. εἰ δὲ βούλει διττῶς εὐδοκιμεῖν, καὶ τοὺς τὰ κάλλιστα ποιοῦντας προτί-

μα

chetypa,nitidas uidelicet nitentiũ,tristeis autē tristantiũ. Eodē pacto iustũ dei iudiciũ nostris actionib9 assimilatur. Qualia em̃ sunt quę à nobis prestãtur,talia ipse nobis par pari referēs ex

Cōsulta quæ agenda sunt cunctan⸗ (hibet. 25
ter,exequere aũt quæ decreueris mature. Quoniã periculosum est admodũ incōsiderata in reb9 temeritas. Si quis enim quæ ex incōsulta mēte proueniũt mala, cōceperit animo, facile cōperiet boni consilij cōmoda, ut qui sanitatis dotem, post ægrotationis experimentũ persentiscũt. Debes igitur cordatissime rex tũ cōsilio prudentiore,tũ precib. ad deũ impensiorib. exquirere diligēter, quæ mũdo sunt expeditura.

Optime reges egregiũ tuũ imperiũ,si oĩa des 16
operã pspicere,nec negligere patiare qcq̃. neq; enim paruũ est in te, ꝙ puũ esse apparet cōparatione tuorũ,quoniã uel exile imperatoris uerbũ et minimũ ingētē obtinet apud omneis

Tibi ipsi custodiēdi leges impōe ne (uim. 27
cessitatē, quũ nō habeas in terris q te possit cogere. Sic em̃ tũ legũ prę te feres cultũ ipse,ante alios eas reuerendo:tum subditis cōstabit legũ præuaricationem periculi nō esse immunem.

Peccare & nō cohibere peccanteis iuxtà ęstima. Si quis em̃ in ciuitate uitã qdem ipse traducat ęque,tolleret aũt uiuēteis iniquè, soci9 malorũ apud deũ iudicatur. Quod si uelis bifariã approbari,ut pulcherrĩa quæq; gerēteis hono 28

μα, καὶ τοῖς τὰ χείριστα δρῶσιν ἐπιτίμα.

29 Λίαν συμφέρειν ὑπολαμβάνω, τὸ φεύγειν τὰς τῶν κακῶν συνδιαιτήσεις. τὸν γὰρ συνόντα πάντοτε ἀνθρώποις πονηροῖς, ἢ παθεῖν ἢ μαθεῖν ἀνάγκη τι πονηρόν. ὁ δὲ τοῖς ἀγαθοῖς συνδιάγων, ἢ μίμησιν τῶν καλῶν ἐκδιδάσκεται, ἢ μείωσιν τῶν κακῶν ἐκπαιδεύεται.

30 Ἐγκόσμιον ὑπὸ θεοῦ πιστευθεὶς βασιλείαν, μηδενὶ χρῶ τῶν πονηρῶν πρὸς τὰς τῶν πραγμάτων διοικήσεις. ὧν γὰρ ἂν ἐκεῖνοι κακῶς διαπράξωνται, λόγον ὑφέξει θεῷ ὁ τὴν ἰσχὺν αὐτοῖς δεδωκώς. μετὰ πολλῆς οὖν ἐξετάσεως αἱ τῶν ἀρχόντων προβολαὶ γινέσθωσαν.

31 Ἴσον νομίζω κακὸν, καὶ τῶν ἐχθρῶν θυμοῦσθαι ταῖς κακουργίαις, καὶ τῶν φίλων θέλγεσθαι ταῖς κολακείαις. δεῖ γὰρ πρὸς ἑκατέρους γενναίως ἀνθίστασθαι, καὶ τοῦ πρέποντος μηδαμῶς ἀφίστασθαι, μήτε τὴν ἀλόγιστον ἐκείνων δυσμένειαν ἀμυνόμενον, μήτε τὴν ἐπίπλαστον τούτων εὐμένειαν ἀμειβόμενον.

32 Ἡγοῦ τούτους εἶναι φίλους ἀληθεστάτους, μὴ τοὺς ἐπαινοῦντας ἅπαντα τὰ παρὰ σοῦ λεγόμενα, ἀλλὰ τοὺς κρίσει δικαίᾳ πάντα πράττειν σπουδάζοντας. καὶ συνηδομένους μὲν ἐπὶ τοῖς χρηστοτέροις, ἐπιστυγνάζοντας δὲ ἐπὶ τοῖς ἐναντίοις. οὗτοι γὰρ ὄντως ἀψευδεστάτης φιλίας δεικνύουσι τεκμήριον.

33 Μὴ μεταβαλέτω σοι τὴν μεγαλόφρονα γνώμην τῆς ἐπιγείου ταύτης δυναστείας ὁ ὄγκος, ἀλλ᾽ ὡς ἐπίκηρον διέπων ἀρχὴν, ἄτρεπτον ἔχε τὸν νοῦν ἐν πράγμασι τρεπτοῖς, μήτε ἐν ταῖς εὐθυμίαις ἐξυψούμενος, μήτε ἐν ταῖς ἀθυμίαις ταπεινούμενος.

Σπουδ

ra ita teterrima patrantibus succense.

Expedire admodũ arbitror, effugere prauorum cõtubernia. Qui enim cũ hominibus improbis semper uersatur, eũ uel pati uel discere malum aliquid necesse est. Qui uero unà cum bonis degit, uel imitationẽ honestorum edocetur, uel diminutionem uitiorum condiscit. 29

Terrarũ orbis à deo cũ concreditũ tibi sit regnũ, caue ne aliquo utaris ex prauis ad rerũ administratiões. Quæ enim illi perperã fecerint, eorũ rationẽ reddet deo, q peccãdi facultatẽ ipsis indulserit. Magna igitur & diligenti cũ perscrutatiõe magistratuũ ꝓmotiões fiãt oportet. 30

Aequale reor esse malũ, & inimicorũ excandescere flagitijs, & amicorũ demulceri blãditiis. Oportet eñ utrisq; resistere, nec usq; à decoro discedere: neq; irrationabilẽ eorũ beneuolẽtiam ulciscẽdo, neq; fictitiã horũ beneuolentiã 31

Existima uerissimos amicos, (remunerãdo. nõ q laudẽt omnia, quæ dicãt abs te, sed qui nihil nõ integro iudicio facere cõtendunt. Sic ut gãtulentur tibi, si bene: tristẽtur cõtrà, si ꝑperã dixeris fecerisue. Hi eñ reuera ab omni fraude abhorrentis amicitiæ præ se ferunt insignia. 32

Ne mutet tibi magnanimã mentẽ, terrenæ huius potestatis moles, sed ut fragilẽ fatoq; obnoxiũ regẽs principatum, immortalẽ habeto intellectũ in reb. mutabilib. nimia neq; lætitia sublimem te extollẽs, neq; mœstitia uilescens. 33

34 Ὥσπερ χρυσὸς ἄλλοτε ἄλλοις ὑπὸ τῆς τέχνης μετατυπούμενος, καὶ πρὸς διάφορα κοσμίων εἴδη μεταποιούμενος, ὅπερ ἐστὶ διαμένει καὶ τροπὴν οὐχ ὑπομένει, οὕτω καὶ αὐτὸς εὐκλεέστατε βασιλεῦ, ἄλλην δ' ἐξ ἄλλης ἀμείβων ἀρχὴν, φθάσας δὲ καὶ αὐτὴν τὴν ἀνωτάτω τιμὴν, ὁ αὐτὸς διαμένεις οὐκ ἐν τοῖς αὐτοῖς πράγμασιν, ἀναλλοίωτον ἔχων ἐν τῷ καλῷ τὸ φρόνημα.

35 Νόμιζε τότε βασιλεύειν ἀσφαλῶς, ὅταν ἑκόντων ἀνάσσῃς τῶν ἀνθρώπων. τὸ γὰρ ἀκουσίως ὑποταττόμενον, στασιάζει καιροῦ λαβόμενον. τὸ δὲ τοῖς θεσμοῖς τῆς εὐνοίας κρατούμενον, βεβαίαν ἔχει πρὸς τὸ κρατοῦν τὴν εὐπείθειαν.

36 Ἵνα τὸ κράτος τῆς βασιλείας ποιήσῃς ἀοίδιμον, ὅσην ἔχεις ἐπὶ τῶν ὑπηκόων ἁμαρτανόντων ὀργὴν, τοσαύτην ἔχειν καὶ ἐπὶ σαυτοῦ πλημμελοῦντος ἀξίου. οὐδεὶς γὰρ ἰσχύει τὸν ἐν ἐξουσίᾳ τηλικαύτῃ παιδεύειν, εἰ μὴ λογισμὸς οἰκεῖος ἐξ αὐτοῦ τοῦ πλημμελοῦντος κινούμενος.

37 Ὁ μεγάλης ἐξουσίας ἐπιλαβόμενος, τὸν δοτῆρα τῆς ἐξουσίας μιμείσθω κατὰ δύναμιν. εἰ γάρ πως τὴν εἰκόνα φέρει τοῦ ἐπὶ πάντων θεοῦ, καὶ δι' αὐτοῦ κατέχει τὴν ἐπὶ πάντων ἀρχὴν, ἐν τούτῳ δὴ μάλιστα τὸν θεὸν μιμήσεται, ἐν μηδὲν ἡγεῖσθαι τοῦ ἐλεεῖν προτιμότερον.

38 Ὑπὲρ χρυσίον καὶ λίθον τίμιον, τῆς εὐποιίας τὸν πλοῦτον ἑαυτοῖς θησαυρίσωμεν, τὸν καὶ ὧδε κατευφραίνοντα τῇ ἐλπίδι τῆς μελλούσης ἀπολαύσεως, κἀκεῖ καταγλυκαίνοντα τῇ πείρᾳ τῆς ἐλπισθείσης μα-

Sicuti aurum quiuis modo sic, mō aliter ab ar 34
te tranfiguretur, atq; ad uarias ornamentorū
species trāsformetur, permanet tamē id quod
est, nec mutationē patitur. Sic ipse quoq; incly
tissime Imperator, licet aliud ex alio per grad9
obtinueris regimē, pueneris q; ad ipsum supre
mū honorē, idē tn̄ permanes nō in eisdē rebus,
inalterabilem continens in officio animum.

Existima tūc demū te tuto regnare, cū uolen 35
tibus imperas hominibus. Quod enim inuito
animo subijcitur, seditiōibus fluctuat capta oc
casione. Quod uero uinculis beneuolentiæ re
gitur, stabilem seruat erga rectorē obedientiā.

Vt dominiū imperij tui facias decantabile, 36
quantam habes aduersus subditos peccanteis
iram, tantam habendā esse tibi aduersus teip-
sum peccantem censeto. Nemo enim ualet tan
ta pollentem potestate corrigere, nisi ratio pro
pria, quæ ex ipso peccante moueatur.

Magnā qui potestatē adeptus est, largitorē 37
potestatis imitetur p uiribus. Si enim imaginē
gestat rerū præsidis dei, atq; per ipsum cōtinet
rerū principatū, in eo maxime imitabitur deū,
ut nō existimet quicq; misericordia preciosi9.

Super aurū & lapidē preciosum, beneficen- 38
tiæ diuitias nobis ueluti thesaurum reconda-
mus. Illæ nanq; tum in præsenti uita oblectant
spe futuræ fruitionis, tum in futura dulcedinē
afferunt, experimento gustuq; speratæ bea-

καρειότητος, τὰ δὲ νῦν περὶ ἡμᾶς ὡς οὐδὲν πρὸς ἡμᾶς, μὴ τερπέτω ἡμᾶς.

39 Σπούδαζε λαμπροτέραις ἀμείβεσθαι δωρεαῖς τοὺς μετ' εὐνοίας ποιοῦντας τὰ παρὰ σοῦ προστατόμενα. τούτῳ γὰρ τῷ τρόπῳ, καὶ τῶν ἀγαθῶν ἐπαυξήσεις τὴν προθυμίαν, καὶ τοὺς πονηροὺς διδάξεις μεταμαθεῖν τὴν κακίαν. τὸ γοῦν τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς μὴ τὰ αὐτὰ ποιοῦντας, ἄγαν ἐστὶν ἀθέμιτον.

40 Τιμιώτατον πάντων ἐστὶν ἡ βασιλεία, τότε δὲ μάλιστα τοιοῦτόν ἐστιν, ὅταν ὁ ταύτην περικείμενος τὸ κράτος, μὴ πρὸς αὐθάδειαν ῥέπῃ, ἀλλὰ πρὸς ἐπιείκειαν βλέπῃ, τὸ μὲν ἀπάνθρωπον, ὡς θηριῶδες ἀποστρεφόμενος, τὸ δὲ φιλάνθρωπον, ὡς θεοείκελον ἐνδεικνύμενος.

41 Ισως πρός τε φίλους καὶ ἐχθροὺς ποιοῦ τὰς κρίσεις, μήτε τοῖς εὔνουσι χαριζόμενος διὰ τὴν εὔνοιαν, μήτε τοῖς δυσμενέσιν ἀνθιστάμενος δι' ἀπέχθειαν. ἐπειδὴ τῆς αὐτῆς ἐστιν ἀτοπίας, καὶ δικαιοῦν τὸν ἄδικον, εἰ καὶ φίλος ὑπάρχει, καὶ ἀδικεῖν τὸν δίκαιον, εἰ καὶ ἔχθρος τυγχάνει. τὸ γὰρ κακὸν ἐν ἀμφοτέροις ὅμοιον, κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται.

42 Νουνεχῶς ἀκροᾶσθαι δεῖ τοὺς τῶν πραγμάτων κριτάς. δυσθήρατος γάρ ἐστιν ἡ τοῦ δικαίου εὕρεσις, ῥαδίως ἐκφεύγουσα τοὺς μὴ λίαν προσέχοντας. ἂν δὲ καὶ τὴν τῶν λεγόντων ἀφέντες δεινότητα, καὶ τὴν τῶν λεγομένων παρέντες πιθανότητα, εἰς τὸν βάθος νοημάτων ἑαυτοὺς ἐμβάλλωσιν, οὕτως ἀνιμήσονται τὸ παρ' αὐτὸν ζητούμενον, καὶ διπλῆν ἁμαρτίαν ἐκφεύξονται, μήτε αὐτοὶ τὸ καλὸν προδιδόντες, μήτε ἄλλοις τοῦτο

δρᾶν

titudinis,q̃ uero nũc circa nos apparent, tanq̃ nihil ad nos pertinẽtia,ne nos nimiũ allectent.

Da operã ut eos splẽdidiorib.demerearis re- munerationib.qui cũ beneuolentia capessunt, quę mãdantur abs te.Hoc em̃ pacto et bonorũ augebis alacritatem,& malos docebis ut dedi scant malitiam.Eisdẽ enim censeri dignos,qui non eadem faciunt,nimis nefarium est. 39

Pretiosissimũ omniũ est imperiũ.Tũc uero uel maxime huiuscemodi ẽ,quũ hãc qui circũ datus est potestatẽ,nõ ad pertinacẽ & temera- riam sæuitiã,ꝓpensus sit, sed ad æquitatẽ respi- ciat: inclementiam ut ferinam auersando:hu- manitatem ut deo similem præ se ferendo. 40

Aequa lance tã ad amicos q̃ ad inimicos uer gẽs iudicãdi mun9 obito, neq̃ bene sentiẽtib. de te gratificãs ob bñuolentiã, neq̃ maleuolis resistẽs,ꝑpter inimicitias:qm̃ eiusdẽ est absurdi tatis,et secundũ iniqua petentẽ dare litẽ,etsi sit amicus,& iniuriã iusto inferre,etsi sit inimic9, malũ em̃ utrobiq̃ simile ẽ,tametsi in cõtrarijs 41

Intẽtã mẽte auscultare debẽt rerũ (inueniat. iudices.Difficilis nanq̃ captu est iusti inuẽtio, facileq̃ effugere solet nõ admodũ attẽdenteis. ꝙ si ꝑtermissa dicẽtiũ eloquẽtia, dictorũq̃ ne- glecta uersimilitudine,ad penitissimã intentio num,ꝓfunditatẽ penetrauerint,sic demũ hauri ent,ꝙ ab ipsis quęritur,geminiq̃ insontes erũt delicti, neq̃ ipsi honestũ prodẽdo,neq̃ alijs id 42

ut

δρᾶν συγχωροῦντος.

43 Ἰσάριθμα τοῖς ἄστροις ἂν κτήσῃ τὰ κατορθώματα, οὐδέποτε νικήσεις τὴν τοῦ θεοῦ ἀγαθότητα. ὅσα γὰρ ἄν τις προσενέγκῃ θεῷ ἐκ τῶν αὐτοῦ, τὰ αὐτοῦ προσφέρει αὐτῷ. καὶ ὡς οὐκ ἔστιν ὑπερβῆναι τὴν ἰδίαν ἐν τῷ ἡλίῳ σκιὰν, προλαμβάνουσαν ἀεὶ καὶ τὸν λίαν ὑπειγόμενον· οὕτως οὐδὲ τὴν ἀνυπέρβλητον τοῦ θεοῦ χρηστότητα ταῖς εὐποιΐαις ὑπερβήσονται ἄνθρωποι.

44 Ἀδαπάνητός ἐστι τῆς εὐποιΐας ὁ πλοῦτος. ἐν τῷ διδόναι γὰρ λαμβάνεται, καὶ ἐν τῷ σκορπίζειν συνάγεται. τοῦτον ἔχων ἐν τῇ ψυχῇ σου πλουσιόδωρε βασιλεῦ, δίδου πᾶσι δαψιλῶς τοῖς αἰτοῦσι παρὰ σοῦ. ἀπειροπλασίας γὰρ ἕξεις τὰς ὑπὲρ τούτων ἀμοιβὰς, ὅταν ἔλθῃ ὁ καιρὸς τῆς τῶν ἔργων ἀντιδόσεως.

45 Νεύματι θεοῦ τὴν βασιλείαν λαβὼν, μίμησαι αὐτὸν δι' ἔργων ἀγαθῶν. ὅτι τῶν εὖ ποιεῖν δυναμένων ἐγγὺς, ἀλλ' οὐ τῶν εὖ παθεῖν δεομένων. τὸ γὰρ ἕτοιμον τῆς τῶν χρημάτων δαψιλείας ἀνεμπόδιστόν ἐστι πρὸς τὰς τῶν πενήτων εὐποιΐας.

46 Ὡσπερ ὀφθαλμὸς ἐμπέφυκε σώματι, οὕτω βασιλεὺς τῷ κόσμῳ ἐνήρμοσται, ὑπὸ τοῦ θεοῦ δεδομένος εἰς συνεργίαν τῶν συμφερόντων. χρὴ οὖν αὐτὸν, ὡς οἰκείων μελῶν, οὕτω πάντων ἀνθρώπων προνοεῖν, ἵνα προκόπτωσιν ἐν καλοῖς, καὶ μὴ προσκόπτωσιν ἐν κακοῖς.

47 Ἀσφαλεστάτην ἡγοῦ τῆς σωτηρίας τὴν φυλακὴν, τὸ μηδέ ποτέ τινα τῶν ὑπηκόων ἀδικεῖν. ὁ γάρ τινα μὴ ἀδικῶν, οὐχ ὑφορᾶται τινά. εἰ δὲ τὸ μὴ ἀδικεῖν ἀσφάλ-

λειαν

ut cōmittant concedendo.
Aequalia numero ſyderib. etſi edideris bo- 43
na opera, nō tamen ob id ſuperabis dei bonita
tē. Quæcūq; enim quiſpiā obtinuerit deo, ſua
ipſi offeret ex ſuis. Et ſicuti tranſilire uel antei-
re nulli datur ſuā in ſole umbrā, præuenientē
ſemper uel nimis properantē, ita inſuperabilē
dei bonitatē nulli bonis operibus homines ex
Inexhauſtæ ſunt beneficentię (cedent.
opes. Nam largiendo acquiruntur, & diſſipan 44
do colliguntur. Has tuo inſitas animo habens
munificentiſſime Imperator, largire omnibus
affatim petentibus abs te. Infiniticuplas enim
pro ſuis habebis remunerationes, quum tem-
pus reddendi uicem uenerit.
Nutu dei regnū adeptꝰ imitare eū bonis ope 45
ribus, qa inter eorū numerū natꝰ es, beneficio
q afficere poſsūt, nō qui affici poſtulāt. paratę
enim rerū copię nullū impedimētū eſſe poteſt,
quo minus cōferantur in pauperes beneficia.
Sicut oculus innatus eſt corpori, ita Impera 46
tor mundo adaptatus eſt, à deo datus ꝓ admi-
niſtratione eorum quę uſui ſunt. Oportet igi-
tur eum omnib. hominibus quaſi ꝓpriis mem-
bris proſpicere, ut proficiāt in bonis, neu malo
Tutiſſimā ar (rum offenſaculo illidantur.
bitrare ſalutis tuæ cuſtodiam, nulla quenq; ex 47
ſubditis afficere iniuria: q enim offendit nemi
nē, ſuſpicioni habet neminē. q ſi nulla quenq;
affice-

λειαν προξενεῖ, τὸ εὐεργετεῖν πολλῷ πλέον. τὸ ἀσφαλὲς γὰρ δίδωσι, καὶ τὸ προσφιλὲς οὐ προδίδωσι.

8 Γίνου τοῖς ὑπηκόοις εὐσεβέστατε Βασιλεῦ, καὶ φοβερὸς διὰ τὴν ὑπεροχὴν τῆς ἐξουσίας, καὶ ποθεινὸς διὰ τὴν παροχὴν τῆς εὐποιίας. μήτε τοῦ φόβου καταφρονούμενος διὰ τὸν πόθον, μήτε τοῦ πόθου παραμελούμενος διὰ τὸν φόβον. ἀλλὰ ἥμερον ἔχων ἀκαταφρόνητον, καὶ τὸ εὐκαταφρόνητον ἔχων ἀνήμερον.

49 Ἃ τοῖς ὑπηκόοις νομοθετεῖς διὰ τῶν λόγων, ταῦτα προλαβὼν ὑπέδειξας διὰ τῶν ἔργων. ἵνα τοῖς λόγοις οἷς πείθεις, καὶ χρηστὸς συναγωνίζηται βίος. οὕτω γὰρ εὐδόκιμον ἀποφανεῖ σου τὸ κράτος, καὶ λέγων πρακτικῶς, καὶ πράττων λογικῶς.

50 Πλέον ἀγάπα Βασιλεῦ γαληνότατε, τοὺς λαμβάνειν παρὰ σοῦ χάριτας ἱκετεύοντας, ἢ τοὺς σπουδάζοντας δωρεὰς σοι προσφέρειν. τοῖς μὲν γὰρ ὀφειλέτης ἀμειβῆς καθίστασαι. οἱ δὲ σοι τὸν θεὸν ὀφειλέτην ποιοῦσι τὸν οἰκειούμενον τὰ εἰς αὐτοὺς γινόμενα, καὶ ἀμειβόμενον ἀγαθαῖς ἀντιδόσεσι τὸν φιλόθεον, καὶ φιλάνθρωπόν σου σκοπόν.

51 Ἡλίου μὲν ἔργον ἐστὶ, τὸ καταλάμπειν ταῖς ἀκτῖσι τὴν κτίσιν. ἄνακτος δὲ ἀρετὴ, τὸ ἐλεεῖν τοῖς δεομένοις. κἀκείνου δὲ φανότερος, ὁ εὐσεβὴς Βασιλεύς. ὁ μὲν γὰρ ὑποχωρεῖ τῇ διαδοχῇ τῆς νυκτός. ὁ δὲ οὐ παραχωρεῖ τῇ συναρπαγῇ τῶν κακῶν, ἀλλὰ τῷ φωτὶ τῆς ἀληθείας ἐξελέγχει τὰ κρυπτὰ τῆς ἀδικίας.

52 Τοὺς μὲν πρὸ σοῦ βασιλεῖς ἡ ἀρχὴ κατεκόσμησε, σὺ δὲ ταύτην κράτιστε, φαιδροτέραν ἐποίησας, ἡμερό

τητι

afficere iniuria tutelã cõciliat,lõge bñficijs col
latis magis id pſtabit. Nã ut tutelã exhibet, ita
Eſto ſubditis,piẽtiſſime(charitatẽ nõ prodit. 48
Imperator,& formidabilis ob excellentiã pote
ſtatis,et amabilis ob largitionẽ bñficẽtię. Necꝗ
formidinẽ cõtemnẽs,ꝑpter amorẽ,nec itẽ amo
rem negligẽs ob formidinẽ. Sed tam mãſuetu-
dinẽ ꝑ te ferẽs haud aſpnabilẽ,ꝗ̃ nimiã & aſp-
nabilẽ familiaritatẽ immiti ſeruitute caſtigãs.
Quę ſubditis uerbo quaſi lege pręſcribis,hęc 49
tu pręueniẽs re ipſa præſtitiſti, ut uerbis,quib.
pſuades integra quoꝗ uita adſtipuletᷣ. ſic enim
cõmendabile tuũ aſſeuerabis imperiũ, ſi & ra-
tiocineris nõ ſine opere,& opereris nõ ſine rõe
Eos plus ama ſereniſſime Imperator,accipere 50
abs te bñficia qui ſupplicãt,q̃ tibi q cõtendunt
offerre munera. His enim debitor referẽdi gra
tiã efficeris,illi uero deũ dãt tibi uadẽ,uẽdicãtẽ
ſibi ptinereꝗ ad ſe putantẽ,quæcũꝗ erga ſup-
plices cõtuleris,& remunerantẽ bonis retribu
tionib. tuã tam piã,ꝗ̃ perhumanã intentionẽ.
Solis,ꝑfecto partes ſunt,illuſtrare radijs orbẽ. 51
Principis uero uirtꝰ eſt egenorũ miſereri. Por-
rò ijs clarior eſt Imperator,q piꝰ eſt. Ille nãꝗ ce
dit ſuccedenti nocti,hic aũt rapacitati prauorũ
nõ cõcedit indulgetie qcꝗ̃, ſed lumine uerita
Priores quidẽ(tis,iniqtatis occulta coarguit. 52
te Impatores principatus adornauit. Tu uero
eũ pręſtãtiſſime,illuſtriorẽ reddidiſti mãſuetu
dine

τητι κιρνῶν τῆς ἐξουσίας τὸν ὄγκον, καὶ χρηστότητι νικῶν τῶν προσιόντων σοι τὸν φόβον. ὅθεν τῷ λιμένι τῆς σῆς γαληνότητος πάντοθεν προσορμῶσιν οἱ ἐλέους δεόμενοι, καὶ τῶν κυμάτων τῆς πενίας ἀπαλλαττόμενοι, εὐχαριστηρίους ὕμνους σοι ἀναπέμπουσιν.

53 Ὅσον τῇ δυναστείᾳ πάντων ὑπερανέχεις, τοσοῦτον καὶ τοῖς ἔργοις ὑπερλάμπειν ἀγωνίζου. ἀναλογοῦσαν γὰρ τῷ μεγέθει τῆς δυνάμεως τὴν ἐργασίαν τῶν καλῶν ἀπαιτεῖσθαι προσδόκησον. ἵνα τοίνυν παρὰ θεοῦ ἀνακηρυχθῇς, μετὰ τοῦ στεφάνου τῆς ἀηττήτου βασιλείας, κτῆσαι καὶ τὸ στέμμα τῆς τῶν πενήτων εὐποιίας.

54 Σκέπτου πρὶν ἐπιτάττειν ἃ θέλεις, ἵνα προστάττῃς ἐμφρόνως ἃ θέμις. εὐόλισθον γὰρ τὸ τῆς γλώττης ὄργανον, καὶ μέγιστον παρέχει τοῖς ἀμελοῦσι κίνδυνον. εἰ δὲ τὸν εὐσεβῆ λογισμὸν ὡς μουσικὴν ἐπιστήσεις αὐτῷ, τὸ παναρμόνιον τῆς ἀρετῆς ἀνακρούσεται μέλος.

55 Ὀξὺν μὲν εἶναι χρὴ περὶ πάντα τὸν ἄνακτα, καὶ μάλιστα περὶ τὰς κρίσεις τῶν δυσχερῶν πραγμάτων, βραδὺν δὲ λίαν εἰς ὀργὴν ἐπιδείκνυσθαι. ἐπειδὴ γὰρ τὸ πάντη ἀόργητον εὐκαταφρόνητον, καὶ θυμούσθω μετρίως, καὶ μὴ θυμούσθω. τὸ μὲν, ἵνα τῶν φαύλων τὰς ὁρμὰς ἀναστέλλῃ. τὸ δὲ, ἵνα τὰς ἀφορμὰς τῶν χρηστῶν ἀνιχνεύῃ

56 Ἐν τῷ ἀκριβεῖ τῆς καρδίας σου βουλευτηρίῳ, ἐπιμελῶς κατανόει τῶν συνόντων σοι τοὺς τρόπους. ἵνα γινώσκῃς ἀκριβῶς καὶ τοὺς ἐν ἀγάπῃ θεραπεύοντας, καὶ τοὺς ἐν ἀπάτῃ κολακεύοντας. πολλοὶ γὰρ εὔνοιαν ὑποκρινόμενοι, μεγάλα τοὺς πιστεύοντας κατα-

βλα-

dine tẽperãs diluẽsq; austerã potestatis molẽ, bonitateq; uincẽs adeuntiũ te formidinẽ. Qua propter tuæ serenitatis portũ subeũt omnes, q misericordia indigẽt. Fluctibusq; paupertatis liberati, gratiarũ actores hymnos ad te missitãt

Quãtũ potestate cæteris antecellis, tantũ factis etiã emicare ante alios enitere. Persuasissimũ enim habe, eam abs te postulari honestorũ operationẽ, quę magnitudini uiriũ proportione respõdeat; ut igitur à deo quasi per precone uictor declareris, corona inuicti imperij tuo capiti imposita, coronã etiã ex promerẽdis pauperib. acquirito. 53

Cõtẽplator bene prius q̃ mãdes quę fieri uelis. Sic fiet ut semper prudẽter iubeas quę fas est. Lubricũ enim est instrumentum linguę, maximũq; affert negligentib. periculũ: quod si piũ intellectũ ueluti musicũ illi prefeceris, omnib. harmoniæ numeris concinnatũ modulabitur melos. 54

Acutũ quidẽ esse oportet principẽ, cũ in alijs, tũ uel maxime in afferẽdo de reb9 difficillimis iudicio, lẽtũ aũt ad irascẽdũ. Et q̃m omnimoda irę absentia aspernabilis ẽ, et irascatur mediocriter, & nõ irascatur oportet. Illud ut prauorũ impetũ cõprimat, hoc ut propensiões bonorũ peruestiget 55

In exquisita tui cordis curia diligẽter perspicito cõuersantiũ tecũ mores, ut pernoscas examussim, & quos charitas te colere compellit, et qui tibi per fraudẽ adulãtur Pleriq; enim beneuolentiã simulantes, magno credentibus detri 56

βλάπτουσι.

57 Λόγον ἀκούσας ὠφελῆσαι δυνάμενον, μὴ μόνον ἀκοὴν παρέχου, ἀλλὰ καὶ πράξει διαδέχου, οὕτω γὰρ τὸ τοῦ βασιλέως ἀγλαΐζεται κράτος, ὅταν ἢ παρ' ἑαυτοῦ τὰ δέοντα συνορᾷ, ἢ παρ' ἄλλου εὑρεθέντα, μηδαμῶς παρορᾷ, ἀλλὰ μανθάνει μὲν ἀνεπαισχύντως, ἐπιτελεῖ δὲ ἀνυπερθέτως.

58 Ἀκρόπολις μὲν ἀρρήκτοις τείχεσιν ἠσφαλισμένη καταφρονεῖ τῶν πολιορκούντων αὐτὴν πολεμίων, ἡ εὐσεβὴς δὲ βασιλεία ὑμῶν, ἐλεημοσύναις τετειχισμένη, καὶ προσευχαῖς περιπυργουμένη, ἀήττητος γίνεται τοῖς τῶν ἐχθρῶν βέλεσιν, ἀοίδιμα κατ' αὐτῶν ἐγείρουσα τρόπαια.

59 Χρῆσαι δεόντως τῇ κάτω βασιλείᾳ, ἵνα κλίμαξ σοι γένηται τῆς ἄνω εὐδοξίας. οἱ γὰρ ταύτην καλῶς διοικοῦντες, μετὰ ταύτης κἀκείνης ἀξιοῦνται. ταύτην δὲ διοικοῦσι καλῶς, οἱ πατρικὸν τοῖς ἀρχομένοις ὑποδεικνύοντες πόθον, καὶ ἀρχικὸν παρ' αὐτῶν ἀντιλαμβάνοντες φόβον. ἀπειλαῖς μὲν τὰ πταίσματα προαναστέλλοντες, τιμωρίαις δὲ πεῖραν αὐτοῖς οὐ προσάγοντες.

60 Ἱμάτιον ἀπαλαίωτόν ἐστι τὸ τῆς εὐποιίας περιβόλαιον. καὶ ἀδιάφθορος στολὴ ἡ πρὸς τοὺς πένητας στοργή. δεῖ οὖν τὸν βουλόμενον εὐσεβῶς βασιλεύειν, τοιούτοις ἐνδύμασι τὴν ψυχὴν καλλωπίζειν. φιλοπτωχίας γὰρ ἠμφιεσμένος πορφύραν, καὶ οὐρανίου βασιλείας καταξιοῦται.

61 Σκῆπτρον βασιλείας παρὰ θεοῦ δεξάμενος, σκέπτου πῶς ἀρέσεις τῷ ταύτην σοι δεδωκότι, καὶ ὡς

πάντων

mento sunt.

Sermonem cũ audis iuuare ualentẽ ne auribus modo, uerũ opere etiã excipito. sic em̃ Imperatoris exornatˀ decoraturq́; dominiũ, quũ uel ex se considerat quorũ indiget usus, uel ab alio reperta non despicit, sed tum discit sine uerecundia, tum exequitur sine cunctatione. 57

Arx quidẽ indepopulabilibus muris munita contemnit obsidenteis se hostes. Piũ autẽ uestrum imperiũ quũ & liberalitate erga miseros ueluti muro cinctũ, & precũ turribus corroboratũ sit, inuictũ nullisq́; hostiũ telis peruiũ fit, præclara & celebria cõtra erigẽs trophæa. 58

Vtere ut oportet regno hoc inferiore, ut scala tibi fiat superioris claritatis, Qui enim hanc recte gubernãt, illa quoq; postmodũ digni cẽsentur. Hanc autẽ recte gubernant, qui paternam subditis ostendunt charitatẽ, & principi debitum ab ipsis recipiũt timorem. Itaq; minis quidem uitia compescent. Supplicij autẽ sensum ipsis neutiquam infligent. 59

Vestimentum inuetustabile est, beneficentię amictus. Ei incorrupta stola est, charitas erga pauperes. eũ igiˀ oportet qui piè regnare uult, taliũ indumentorũ pulchritudine animã exornare, Amoris em̃ in egenos q̃ indutus est purpuram, cœlestis quoq; regni compos efficitur. 60

Sceptrũ imperij quũ à deo suscepis, cogitato quib9 nã modis placebis, q̃ id tibi dedit, quoq; 61

πάντων ἀνθρώπων ὑπ' αὐτοῦ προτιμηθεὶς, πλέον πάντων ἐπείγου καταγεραίρειν αὐτόν. τοῦτο δὲ γέρας ἡγεῖται μέγιστον, ἂν ὡς αὐτὸν τοὺς ὑπ' αὐτοῦ διαπλασθέντας ὁρᾷς, καὶ ὡς χρεῶν καταβολὴν τὰς εὐποιίας πληροῖς.

52 Τρέχειν μὲν εἰς τὴν ἄνω βοήθειαν πᾶς ἄνθρωπος ὀφείλει, ὁ σωτηρίας γλιχόμενος. ὁ βασιλεὺς δὲ πρὸ πάντων, ὡς μεριμνῶν ὑπὲρ πάντων. ὑπὸ τοῦ θεοῦ γὰρ φυλαττόμενος, καὶ τοὺς πολεμίους καταγωνίζεται γενναίως, καὶ τοὺς οἰκείους κατασφαλίζεται σπουδαίως.

63 Ὁ μὲν θεὸς οὐδενὸς δεῖται, ὁ βασιλεὺς δὲ μόνου θεοῦ. μιμοῦ τοίνυν τὸν οὐδενὸς δεόμενον. καὶ δαψιλεύου τοῖς αἰτοῦσι τὸν ἔλεον, μὴ ἀκριβολογούμενος περὶ τοὺς σοὺς οἰκέτας, ἀλλὰ πᾶσι παρέχων τὰς πρὸς τὸ ζῆν αἰτήσεις. πολὺ γὰρ κρεῖττόν ἐστι διὰ τοὺς ἀξίους ἐλεεῖν καὶ τοὺς ἀναξίους, ἢ τοὺς ἀξίους ἀποστερεῖν διὰ τοὺς ἀναξίους.

64 Συγγνώμην αἰτούμενος ἁμαρτημάτων, συγγίνωσκε καὶ αὐτὸς τοῖς εἰς σὲ πλημμελοῦσιν, ὅτι ἀφέσει ἀντιδίδοται ἄφεσις. καὶ τῇ πρὸς τοὺς ὁμοδούλους ἡμῶν καταλλαγῇ, ἡ πρὸς θεὸν φιλία καὶ οἰκείωσις.

65 Δεῖ τὸν ἀμέμπτως ἀνάσσειν ἐσπουδακότα, καὶ τὰς τῶν ἔξωθεν ἀδοξίας φυλάττεσθαι, καὶ ἑαυτὸν πρὸ ἐκείνων αἰσχύνεσθαι, ἵνα καὶ τοῦ φανερῶς ἁμαρτάνειν δι' ἐκείνους ἀπέχηται, καὶ τοῦ κατ' ἰδίαν πλημμελεῖν ὑφ' ἑαυτοῦ κωλύεται. εἰ γὰρ οἱ ὑπήκοοι αἰδοῦς ἄξιοι φαίνονται, πολλῷ πλέον ὁ βασιλεὺς ἄξιος ταύτης γίνεται.

66 Ἰδιώτου μὲν εἶναι κακίαν φημὶ, τὸ πράττειν φαῦλα

καὶ

omnibus hominibus ab eo sis prælatus, magis omnibus eum honestare festina. Porro id ipse honestamentũ arbitratur maximum, si quasi ipsum, factos à se tuearis, atq; ut debiti exolutionẽ, benefaciendi munus adimpleas.

Recurrere ad supnũ auxiliũ cũ hõ quiuis de 62
bet, salutẽ qui expetat, tum ante omneis Imperator, utpote qui pro omnib. solicitus est: quũ enim à deo custodiatur, tam hostes generosa manu debellat, q̃ suos sedulo communit.

De9 nulla re indiget, Imperator solo deo. Imi 63
tare igitur nulli9 indigũ, petẽtibusq; fac uberẽ misericordię copiã, nõ exacta & ad uiuũ resecãte rẽ rõne impẽsarũ tuũ erga famulatũ utẽs, sed omniũ de sustinẽda uita petitionib. satisfaciẽs. Lõge em̃ sati9 ẽ merito dignorũ etiã indignis misereri, q̃ indignorũ uitio dignos ijs frauda-

Veniã quũ delictorũ tuorũ (re quę merẽtur. 64
petas, ipse q̊q; te effundẽtib. ignosce, qm̃ remissiõi retribuit remissio, nostręq; cũ cõseruis nostris recõciliatiõi, dei amicitia & familiaritas.

Qui inculpabiliter principẽ agere studet, cũ 65
notas cauere debet, quę forinsecus inuruntur, tũ seipsum ante alios uerecundari: ut & aperte delinquere abstineat, ꝑpter alios, & à seipso cohibeat, quò min9 priuata seorsũ flagitia cõmittat. Si em̃ ex subditis sunt, q reuerẽtia digni habentur, multo magis ea dignus Imperator effi

Priuati uitiũ esse assero, patrare praua (citur. 66

καὶ κολάσεως ἄξια. ἄρχοντος δὲ πονηρείαν, τὸ μὴ ποιεῖν τὰ καλὰ καὶ σωτηρείας πρόξενα. οὐ γὰρ ἡ τῶν κακῶν ἀποχὴ δικαιοῖ τὸν κρατοῦντα, ἀλλ᾽ ἡ τῶν καλῶν προσοχὴ στεφανοῖ τὸν τοιοῦτον. μὴ μόνον τοίνυν πονηρείας ἀπέχεσθαι λογιζέσθω, ἀλλὰ καὶ δικαιοσύνης ἀντέχεσθαι σπουδαζέτω.

67 Ἀξιωμάτων λαμπρότητας οὐ δυσωπεῖται ὁ θάνατος. πάντων γὰρ ἐμβάλλει τοὺς παμφάγους αὐτοῦ ὀδόντας. οὐκοῦν πρὸ τῆς ἐκείνου ἀπαραιτήτου παρουσίας, μεταθῶμεν εἰς οὐρανὸν τὴν τῶν χρημάτων περιουσίαν. οὐδεὶς γὰρ ἃ ἐν κόσμῳ συνάγει, ἐκεῖσε ἀπολυμένας ἀπάγει, ἀλλὰ πάντα καταλιπὼν ἐπὶ γῆς, γυμνὸς λογοθετεῖται τὸν βίον αὐτοῦ.

68 Κύριος μὲν πάντων ἐστὶν ὁ βασιλεύς, δοῦλος δὲ μετὰ πάντων ὑπάρχει θεοῦ. τότε δὲ μάλιστα κληθήσεται κύριος, ὅταν αὐτὸς ἑαυτοῦ δεσπόζῃ, καὶ ταῖς ἀτόποις ἡδοναῖς μὴ δουλεύῃ, ἀλλὰ σύμμαχον ἔχων τὸν εὐσεβῆ λογισμόν, τὸν ἀήττητον αὐτοκράτορα τῶν ἀλόγων παθῶν, τοὺς πανδαμάτορας ἔρωτας τῇ πανοπλίᾳ τῆς σωφροσύνης καταγωνίζεται.

69 Ὃν τρόπον αἱ σκιαὶ τοῖς σώμασιν ἕπονται οὕτως αἱ ἁμαρτίαι ταῖς ψυχαῖς ἀκολουθοῦσιν, ἐναργῶς τὰς πράξεις ἐξεικονίζουσαι. διὰ τοῦτο οὐκ ἔστιν ἐν τῇ κρίσει ἀρνήσασθαι. αὐτὰ γὰρ ἑκάστου καταμαρτυρήσει τὰ πράγματα, οὐ φωνὴν ἀφιέντα, ἀλλὰ τοιαῦτα φανέντα, οἷα παρ᾽ ἡμῶν ἐπράχθησαν.

70 Νηὸς ποντοπορούσης μιμεῖται διάβασιν ἡ βραχυτελὴς τοῦ παρόντος βίου κατάστασις, ἡμᾶς τοὺς αὐτῆς πλωτῆρας λανθάνουσα, καὶ κατὰ μικρὸν προσάγουσα

δρόμον

suppliciocꝫ digna:principis uero culpã, nõ facere quæ honesta sunt, salutemcꝫ pariunt: necꝫ enim malorũ abstinentia iustificat potentem. sed bonorũ editio coronat eundem. Ne igitur malitia duntaxat abstinere cogitet, sed iustitiã etiam capessere contendat.

Dignitatum splendores mors haud reformi 67
dat, omnibus enim uoraces suos dẽtes infligit Ergo ante illius ineluctabilem aduentũ, opũ copiam trãsportemus in cœlum. Nemo enim quę colligit in mũdo, illuc profectus abducit, sed omnib. in terra derelictis, nud9 de uita sua (reddit rationẽ.

Imperator ut est omniũ dominus, ita cũ omnibus dei seruus existit. Tum igitur demũ uocabitur dominus, quũ ipse sibi dominari, nec illicitis uoluptatib9 famulari patietur. Tum adiutricẽ piam rationẽ assumẽs, inuictam scilicet imperatricem animi, perturbationum rationis expertium indomitas cupiditates armatura castimoniæ debellabit. 68

Quẽadmodũ umbræ corpora sectant͂, sic animas flagitia comitãtur, euidẽti effigie actiões exprimẽtia, ideo non datur in iudicio negare. Ipsa enim uniuscuiuscꝫ opera obtestabuntur, haud sanè uocẽ emittẽdo, sed talia prorsus sese repręsentando, qualia iam à nobis patrata sint. 69

Nauis per mare cõmeantis imitatur trãsitũ 70
cõpẽdiosa pręsentis uitę cõditio, qua sanè nos nautas fallẽs suos, & pedetẽtim cũctãti raptãs

 cursu

δρόμου, καὶ πρὸς ἴδιον ἑκάστου παραπέμπουσα τέλος. εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, παραδράμωμεν τὰ παρατρέχοντα τοῦ κόσμου πράγματα, καὶ προσδράμωμεν τοῖς εἰς αἰῶνας τῶν αἰώνων μένουσιν.

71 Ὁ σοβαρὸς καὶ ὑπερόφρυς ἄνθρωπος, μὴ ὡς ταῦρος ὑψίκερως ἐπαιρέσθω, ἀλλ' ἐννοείτω τῆς σαρκὸς τὴν ὑπόστασιν, καὶ παυέτω τῆς καρδίας τὴν ἔπαρσιν. εἰ γὰρ καὶ γέγονεν ἄρχων ἐπὶ γῆς, μὴ ἀγνοείτω ὑπάρχων ἐκ τῆς γῆς, ἀπὸ χοὸς ἐπὶ θρόνον ἀναβαίνων, καὶ εἰς αὖ τὸν μετὰ χρόνον καταβαίνων.

72 Σπούδαζε διαπαντὸς ἀήττητε βασιλεῦ. καὶ ὥσπερ οἱ τὰς κλίμακας ἀναβαίνειν ἀρξάμενοι, οὐ πρότερον ἵστανται τῆς ἐπὶ τὰ ἄνω φορᾶς, πρὶν ἂν τῆς ἄκρας ἐφίκωνται βαθμίδος, οὕτω καὶ αὐτὸς ἔχου τῆς τῶν καλῶν ἀναβάσεως, ὅπως ἂν καὶ τῆς ἄνω βασιλείας ἀπολαύσειας, ἣν σοι παράσχοι Χριστὸς μετὰ τῆς ὁμοζύγου, ὁ βασιλεὺς τῶν βασιλευόντων, καὶ βασιλευομένων, εἰς τοὺς αἰῶνας, ἀμήν.

ΤΕΛΟΣ.

ΙΠΠΟΚΡΑΤΟΥΣ ΟΡΚΟΣ

Ὄμνυμι ἀπόλλωνα ἰητρὸν, καὶ ἀσκληπιὸν, καὶ ὑγείην, καὶ πανάκειαν, καὶ θεοὺς πάντας τε, καὶ πάσας ἵστορας ποιούμενος ἐπιτελὲς ποιήσειν κατὰ δύναμιν, καὶ κρίσιν ἐμὸν ὅρκον τόνδε, καὶ ξυγγραφὴν τήνδε. ἡγήσασθαι δὲ τὸν διδάξαντα με τὴν τέχνην ταύτην ἴσα, καὶ γενέτῃσι ἐμοῖσι, καὶ βίου κοινώσασθαι, καὶ χρεῶν χρηΐζοντι μετάδοσιν ποιήσασθαι, καὶ γένος

τὸ

cursu, tandem ad suum cuiusq; exitum perducit. Si igitur hæc ita se habent, prętercurramus præcurrẽtia mũdi negocia, adcurramusq; his quæ ad secula seculorum permanent.

Fastuosus & superciliosus homo, ne ut taurꝰ altícornis eleuet̃, sed animaduertẽs carnis sub sistentiã, sedare debet cordis tumorẽ. Nã etsi factus est princeps in terra, ne tamen ignoret sese ortũ ex terra, quũ ex puluere ad soliũ conscendere, atq; in puluerẽ tandẽ descendere possit. 71

Studeto semper inuictissime Imperator: et sicuti scalas qui scandunt, nõ prius desistũt, aut ad superiora ferri desinũt, quàm ad supremum perueniant gradum: ita tu quoq; iugiter honestorum ascensum continuato. Sic fiet ut cœlestis quoq; regni fructum aliquando percipias, quod utinã & tibi tribuat & coniugi Christus rex omnium & qui regnant & qui regnantur in secula Amen. 72

FINIS

TEstor Apollinẽ medicum & Aesculapiũ Hygiamq; & Panaceã Aesculapij filios, & deos ac deas omneis: me, quantũ in me erit, & quãtũ ingeniũ meũ ualebit, hæc omnia obseruaturũ quæ hoc iureiurãdo, atq; ijs tabellis continentur, Tributurũ me præceptori meo à quo hanc artẽ edoctus sum, nõ minus q̃ parenti, à quo sum genitus, Vitã cũ eo cõmunicaturum: res omneis quas illi necessarias esse intelligam, pro uirib. meis ministraturũ, Progeniẽ

τὸ δὲ ἐωυτέου ἀδελφοῖς ἴσον ἐπικρινέειν ἄῤῥεσι, καὶ διδάξειν τὴν τέχνην ταύτην ἢν χρηΐζωσι ἄνευ μισθοῦ, καὶ ξυγγραφῆς. παραγγελίης τε, καὶ ἀκροήσιος, καὶ τῆς λοιπῆς ἁπάσης μαθήσιος μετάδοσιν ποιήσασθαι υἱοῖσί τε ἐμοῖσι καὶ τοῖς τοῦ ἐμὲ διδάξαντος, καὶ μαθηταῖς συγγεγραμμένοις τε, καὶ ὡρκισμένοις νόμῳ ἰητρικῷ, ἄλλῳ δὲ οὐδενί. διαιτήμασί τε χρήσομαι ἐπ' ὠφελείῃ καμνόντων κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν, ἐπὶ δηλήσει δὲ καὶ ἀδικίῃ εἴρξειν. οὐ δώσω δὲ οὐδενὶ φάρμακον αἰτηθεὶς θανάσιμον. οὐδὲ ὑφηγήσομαι συμβουλίην τοιήνδε. ὁμοίως δὲ οὐδὲ γυναικὶ πεσσὸν φθόριον δώσω. ἁγνῶς δὲ καὶ ὁσίως διατηρήσω βίον τὸν ἐμὸν καὶ τέχνην τὴν ἐμήν. οὐ τεμέω δὲ οὐδὲ μὴν λιθιῶντας. ἐκχωρήσω δὲ ἐργάτῃσιν ἀνδράσι πρήξιος τῆσδε. ἐς οἰκίας δὲ ὁκόσας ἂν ἐσίω, ἐσελεύσομαι ἐπ' ὠφελείῃ καμνόντων ἐκτὸς ἐὼν πάσης ἀδικίης ἑκουσίης, καὶ φθορίης τῆς τε ἄλλης, καὶ ἀφροδισίων ἔργων. ἐπί τε γυναικείων σωμάτων καὶ ἀνδρείων ἐλευθέρων τε καὶ δούλων ἃ δ' ἂν ἐν θεραπείῃ ἢ ἴδω ἢ ἀκούσω ἢ καὶ ἄνευ θεραπείης κατὰ βίον ἀνθρώπων, ἃ μὴ χρή ποτε ἐκλαλέεσθαι ἔξω, σιγήσομαι, ἄῤῥητα ἡγεύμενος εἶναι τὰ τοιαῦτα. ὅρκον μὲν οὖν μοι τόνδε ἐπιτελέα ποιέοντι καὶ μὴ ξυγχέοντι, εἴη ἐπαύρασθαι καὶ βίου καὶ τέχνης δοξαζομένῳ παρὰ πᾶσιν ἀνθρώποις ἐς τὸν αἰεὶ χρόνον, παραβαίνοντι δὲ καὶ ἐπιορκοῦντι τἀναντία τουτέων.

ΤΕΛΟΣ.

eius fratrũ loco habiturũ, Hãc artem sine mercede & sine pactionibus edocturum, Pręcepta omnia libere & fideliter traditurũ meis & pręceptoris mei liberis, cæterisq; discipulis, qui se legibus medicinæ astrinxerint, atq; iurari fuerint, alij pręterea nemini. In curandis ægrotis pro uiribus & pro ingenio meo rebus necessarijs usurũ, nemini ægritudinẽ dilaturũ, nihil ꝑ iniuriã facturũ, Rogatũ letale uenenũ nemini daturũ, neq; id cuiq; consulturũ, Neq; mulieri prægnanti ad interficiendũ cõceptũ fœtũ pessum porrecturũ, uitam meam atq; artem meã puram atq; integrã seruaturũ, Laboranteis lapillo haudquaq; excisurũ, sed expertis hui9 artis hoc negociũ permissurũ: quãcunq; domũ ingressus fuero, duntaxat liberandis ægrotis operam daturũ, Omnẽ iniuriam, omnẽ corruptelam, omne genus turpitudinis, res etiam uenereas spõte mea euitaturũ, siue muliebria corpora curauero, siue uirilia. siue hominis liberi, siue serui, quæ inter curandũ uel uidero uel audiero, uel etiam extra curã in uita hominũ cognouero, quę reticẽda esse intelligam, nemini aperturũ, sed intemeratã taciturnitatem seruaturum. Præsens igitur iusiurandũ integre atq; incorrupte seruanti mihi omnia tam in uita q̃ in arte mea prospera feliciaq; succedãt, & gloria in æternum parata sit, transgredienti uero atq; periuro contraria omnia eueniant.

FINIS.

ΑΡΙΣΤΟΒΟΥΛΟΣ ΑΠΟΣΤΟΛΙΟΣ ἱεροδιάκονος τοῖς ἐντευξομένοις χαίρειν.

Ὅμηρος μὲν ὁ τῶν ποιητῶν γονιμώτατος, τῶν τοῦ χίου παίδων ἑαυτοῦ παρατεθέντων παιδεύεσθαι, Βατραχομυομαχίαν τε καὶ ἐπικιχλίδας, καθάπερ ἡρόδοτος ἱστορεῖ, καὶ ἄλλα ὅσα παιγνίων ἀνάμεστα τοῖς τε παισὶν ἐκείνου, καὶ τοῖς ἐπιγινομένοις χαριζόμενος, συνετίθετο. ἵνα τῶν μαθημάτων ἀρχόμενοι, τούτων ἥδιον ἀκροῶνται, καὶ μὴ τῶν τὰ παίδων ὦτα διακναίειν φιλούντων. τῶν μεταγενεστέρων δέ τις τὸν ποιητὴν ἀπομιμεῖσθαι βουλόμενος, πόλεμόν τινα γαλῆς πλασάμενος καὶ μυῶν, εἰς κωμῳδίας τάξιν παρήγαγε, μέτρῳ ἰαμβείῳ χρησάμενος. τούτου δέ μοι ταῖς χερσὶν ἐμπεσόντος, ἔδοξεν ἅμα μὲν τοῖς φιλομαθέσι τῶν νέων ἔργον ἀπεργάσασθαι καταθύμιον, εἰ τοῦτον ὥσπερ τινὰ νέαν ᾠδὴν τυπώσαντες ἀποπέμψομεν. ἅμα δὲ καὶ οἷόν τινα κήρυκα προεκπέμψαι τῆς οὐ μετὰ πολὺ τυπωθησομένης ἰωνιᾶς. ἐφ' ἣν πολλὴν σπουδὴν ὁ ἐμὸς πατὴρ κατεβάλετο, τὰς γὰρ διατριβὰς ἐν ῥώμῃ πάλαι ποιούμενος γασπάρει τῷ αἰδεσιμωτάτῳ ἐπισκόπῳ τοῦ ὅσμου συναγωγὴν παροιμιῶν συνθεῖναι ὑπέσχετο. ἀρξάμενος δὲ τῶν παροιμιῶν, συνυπεμνήσθη καὶ γνωμῶν, ἀποφθεγμάτων τε καὶ ὑποθηκῶν ἀρχαιοτάτων καὶ σοφωτάτων ἀνδρῶν. ἀδελφὰ γὰρ ἀλλήλοις εἰσί, παροιμίαι καὶ γνῶμαι, καὶ ὑποθῆκαι, καὶ ἀποφθέγματα. νομίζω δὲ τὸ βιβλίον τοῖς φιλομαθέσι τῶν

νέων

νέων, ὅτι πλείστην παρέξειν γε τὴν ὠφέλειαν. ἃ γὰρ ἂν διὰ πολλῆς σπουδῆς τε καὶ ἀναγνώσεως ἠρανίσαντο, ἔκ γε τῶν βιβλίων ηὐπόρησαν, ταῦτά γε πάντ' ἐκεῖσε συνηγμένα, καθάπερ ἐν ἰωνιᾷ ταῖς μελίσσαις τὰ ἄνθη, ἔξεσται τοῖς πᾶσιν ἀνιδρωτὶ ἀποδρέπεσθαι. τὴν μὲν οὖν γαλεομυομαχίαν, ἣν ὁ συνθεὶς, ὅστις ἂν ᾖ, καλῶς πάνυ καὶ ἀστείως συνέθετο, ταννῦν τοῖς φιλομαθέσιν ἐκπέμπομεν. οὐ μετὰ πολὺ δὲ καὶ τὴν ἰωνιὰν ἐκδώσομεν ἐντυπώσαντες. παρ' ἧς οὐχ ὅπως εὐφροσύνην, ἀλλὰ καὶ μεγίστην ὠφέλειαν οἱ σπουδαῖοι καρπώσονται.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ
γαλεωμυομαχίας.

Τοῦ μυῶν κυριεύοντος ἐν ὀπῇ τινὶ ζοφώδει καὶ κατῳκιασμένῃ προσμένοντος, κρείλλου κατωνομασμένου, καὶ τῆς γαλῆς τῇδε κἀκεῖσε δρομαίως περιβλεπούσης, καὶ τὸν τοῦδε συνήθως δρόμον ἀνιχνευομένης, ὁ κρεῖλλος μὴ φέρων ταύτης τὴν διωκτικὴν περισκόπευσιν, ὑπὲρ τούτου ὁμαίμονι προσελθὼν, ὃς τὴν τοῦ τυροκλόπου ἀξίαν αὐτὸς περιέφερε, καὶ τούτῳ συμβούλῳ χρησάμενος, ᾧ τινι τρόπῳ ταύτην κατατροπώσεται, πόλεμον ἄσπονδον κατ' αὐτῆς διεξάγειν μεμελετήκασι, καὶ πλείστων μυῶν ἀθροισμὸν συνηθροικότες ἀμφότεροι, καὶ αὐτοὺς νενουθετηκότες, καὶ πάμπλειστα παροξύναντες, ἤθελον παρευθὺ πρὸς αὐτὴν ἀντεξῄεσαν. καὶ δὴ προσκεκρουκότες ἑκάτεροι, τὸν τοῦ κρείλλου υἱὸν ἡ γαλῆ κρατήσασα, καὶ τοῖς ὄνυξι ταύτης ἀγρίως σπαράξασα, παραυτίκα τὸν νεανίαν ἐσβεβρώκει. ἄγγελος δὲ τῶν μυῶν καθεωρακὼς τὸ γινόμενον, εὐθέως πρὸς τὴν δάμαρτα τοῦ κρείλλου ὑπέστρεψε, μηνύσων αὐτῇ τὸν τοῦ προσφιλεστάτου παιδὸς χαλεπώτατον θάνατον. τούτων τοίνυν ἐπὶ πολὺ μαχομένων, ξύλον κατελθὸν ἐστηριγμένον ἐξ ὑπερτάτης στέγης, τὰ νεῦρα τῆς γαλῆς κατέθλασε, καὶ νικηταὶ τῆς μάχης οἱ μύες ὤφθησαν.

Τὰ τοῦ δράματος πρόσωπα.

Κρεῖλλος. Τυροκλόπος. Κῆρυξ. Χορὸς θεραπαινίδων. Ὁμευνέτης κρείλλου. Ἄγγελος. Προλογίζει δὲ ὁ Κρεῖλλος.

Τί τῶν

Τί τὸν τοσοῦτον ἀνδρικώτατοι χρόνον κρε.
μένοντες εἴσω τῶν ὀπῶν ἀγεννῶς,
δειμῷ συνῶμεν καὶ φρίκῃ καὶ δειλίᾳ,
καὶ δυσμόρφως διῶμεν οἰκεῖον βίον,
μὴ δὲ προκύψαι τῆς ὀπῆς ἠρκεμένοι,
ἀλλ᾽ οἰκτρότατοι καὶ φόβου πεπλησμένοι,
βίον σκοτεινὸν ἀθλίως μυωξίαις
ζῶμεν, καθάπερ οἱ πεφυλακισμένοι,
καὶ νύκτα τὸν σύμπαντα τοῦ χρόνου δρόμον
μακρὰν διοῦμεν καὶ σκιὰν τοῦ θανάτου,
ὡς οἱ ζοφώδεις κιμμέριοι τοῦ λόγου,
οἱ ποντικῶν ἔχοντες ἀμβλυωπίαν,
ζόφωσιν ἑξάμηνον εἷλκον τοῦ βίου;
κἂν μὴ θέλωμεν, ὦμεν ἐν μυωξίαις. τυρ.
εἰ γὰρ προελθεῖν, ὡς λέγεις, θαρραλέως
τολμήσωμεν βαίνοντες ἀχέτῳ δρόμῳ,
τάχιστ᾽ ἂν ἐμπέσοιμεν αὐτοὶ κινδύνῳ,
καὶ πραγμάτων ἴδοιμεν οἰκεῖον μόρον,
καὶ τὸν σκοτεινὸν ἀϊδωνέως τόπον,
λάβοιμεν ἀντίποινον ἀκρατοσύνης.
πῶς γοῦν περιπέσωμεν, ὡς φῇς, κινδύνῳ, κρε.
καὶ τὸν βίον βλέπωμεν ἀθλίῳ μόρῳ;
ληφθέντες εἴσω τῶν φρικωδῶν χειλέων, τυρ.
τῆς ἅρπαγος κρείλλης τῆς δολοπλόκου.
τίς ἐστιν αὕτη, μὴ φθονήσῃς τοῦ λέγειν, κρε.
οὐ γὰρ προχείρως τοῦτο σκοπῶ περιστρέφω.
ἣν γαλῆν ὠνόμασεν ἀνθρώπων γένος, τυρ.
αὕτη γὰρ ἀεὶ χηραμὸν περιβλέπει,
καὶ μῦς ἐρευνᾷ, καὶ καθώσπερ οἱ κύνες

ἰχνηλα

ἰχνηλατοῦσι τοὺς λαγωοὺς ποικίλως
τὸν αὐτὸν αὕτη σκανδαλοπλόκως τρόπον
ἡμᾶς διιχνεῖ λυγγικὸν βλέπουσά τι

κρε. οἶδ᾽ ἣν πρὶν ἡρμήνευσας ἀκριβεστάτως,
καὶ γὰρ πρὸ καιροῦ τὴν ἐμὴν θυγατέρα
λυχνογλύφην δὲ φημὶ τὴν πεφιλημένην
οἰκτρῶς κατημάλαξε φεῦ μοι πραγμάτων.

τυρ. κἀμοῦ τὸ τέκνον τὴν φίλην χορδοκόπον.
καὶ τὸν ποθεινὸν σιτοδάπην καὶ φίλον,
εἰς ἐκδίκησιν τῆς ἀδελφῆς ἐλθόντα.

κρε. τί γοῦν κατωκνήσαμεν ὡς θηλυδρίαι,
καὶ παρέδομεν τὸν φόνον τῶν φιλτάτων;

τυρ. καὶ τί προσῆκον ἐργάσασθαι τυγχάνει.

κρε. εἰς ἀντάμυναν ἀπιδεῖν τῆς παμφάγου,
καὶ τῶν θανόντων ἐκδικῆσαι τὸν μόρον.

τυρ. ποίῳ τρόπῳ κάτειπε σὺ σαφηνίσει.

κρε. μόθον πρὸς αὐτὴν ἀτρόμως τετευχότες.

τυρ. δέδοικα καὶ πέφρικα μὴ σφαγισμένοι,
χ᾽ ὑμεῖς φανῶμεν καὶ καταβεβρωμένοι
καὶ κύρμα γαλῆς φεῦ γενώμεθα ξένον.

κρε. καὶ τοῦτο δ᾽ οὐχ᾽ ἕκητι τῶν τεθνηκότων.
καὶ γὰρ γινώσκεις τοὺς γραφεῖς αἰνουμένους
τῶν συγγενῶν ἕκητι καὶ τῶν γνωρίμων,
παίδων, ἀδελφῶν, γνωρίμων, φυτοσπόρων
θανόντας ἀπλήρωτον ἑλκόντας κλέος.

τυρ. Ισημι πάντως. ἀλλὰ δεινὸν τυγχάνει
λιπεῖν τὸ λαμπρὸν στάδιον τῆς ἡμέρας,
καὶ τῷ σκοτεινῷ συγκαλυφθῆναι τάφῳ.

κρε. οὐκ οἶδας ἣν μέγιστον ἀρώμεν κράτος.

καὶ

καὶ πικροτάτῳ τὴν δὲ δώσομεν μόρῳ.

τυρ. ὅτῳ τρόπῳ, σύναιμε, σαφήνιζέ μοι.

κρε. αὐτῇ μαχησμὸν συστάδην δεδρακότες.

τυρ. κρεῖττον μοι δοκεῖ συμβαλεῖν λαθριδίως.

κρε. ποία δ' ὄνησις λάθρα τοῖς προσιέναι;

τυρ. εἰ γὰρ προγνώσει τοῖς δόλοις προσανέχειν
ὡς εἰς μαχησμὸν αἱρετὸν συνεστάναι
καὶ συμμάχων ὅμιλον εἰς αὐτὴν λάβῃ,
καὶ συμβαλοῦσα, τηνικαῦτα τὸ στέφος
ἀρεῖ παρασπάσασα τὴν ἡμῶν ἴλην.

κρε. χ' ἡμεῖς κατ' ἴσον συμμάχων ὁμηγύρει
λάβωμεν εἰς ἄρηξιν ὡς εἰθισμένον.

τυρ. οὐκ οἶδα πῶς πρὶν συνιστῶντος τὸν μόθον
πρὸς τὸ στράτευμα τῶν γαλῶν καὶ βατράχων,
καὶ συμμάχων εἴχομεν κράτιστον νέφος;

κρε. ἴσημι πῶς κάκιστον εἴδομεν μόρον
παίδων, ὁμαίμων, γνωρίμων, φυτοσπόρων,
μικροῦ δ' ἀπωλώλαμεν ἡμεῖς τῷ τότε.

τυρ. δέδοικα καὶ νῦν μὴ θάνωμεν τῷ βόθρῳ.

κρε. οὐ νὴ θεῶν πλήρωμα τῶν ἐνυπνίων
ἀελπίς εἰμι καὶ γὰρ ἐξ ὀνειράτων.

τυρ. τί γοῦν ὄνειρον ἐμφανῶς ἑώρακας;

κρε. ὁ Ζεὺς γὰρ ὤφθη κατ' ὄναρ κνώσσοντί μοι,
καὶ θάρσος ἐντέθεικε τῇ μῇ καρδίᾳ
καὶ χαῖρε. λύπῃ προσπεφώνηκε κράτος.

τυρ. τίνι προσωμοίωτο καὶ ποῖον φράσον,

κρε. τῷ τυρολείχᾳ, τῷ φρονίμῳ πρεσβύτῃ.

τυρ. πῶς δ' οὐκ ἔτ' ἄλλων ὡράθη σοι τὸν χρόνον;

κρε. ἐμαῖς ἀπειλαῖς ὡράθη πλοιαλέος.

τυρ. τί γοῦν ἐπηπείλησας αὐτὸν τὸν πόλον
οἰκοῦντι καὶ λέγοντι τοῖς ἀθανάτοις,
σειρὰν μεγίστην ἐξανάψαι τοῦ πόλου
καὶ πάντας ἕλξαι χειρὶ πανσθενεστάτῃ;

κρε. Καὶ τοῦτον ἠπείληκα τούτῳ μυρία.
καὶ γὰρ καθ' αὐτὸν ἱστορῶν μου τὸν βίον
ὅπως μένων ἔσωθεν οἰκτρῶς γωνίας,
ὅλος σκοτεινός εἰμι καὶ ζόφου γέμων,
καὶ δεῖμα δεινὸν δέδειμαι ναὶ καὶ τρέμω
ζῶον πνιγηρὸν ἔμπλεων ἀηδίας,
ὤμωζον, ὠλόλυζον, ἠθύμουν, μέγα,
ἔκοπτον, ἐπάραττον εἰκείαν γένυν,
καὶ τὸν θεὸν ὕπατον ὕβριζον δία.
καὶ προσέθεικα τοῖς στεναγμοῖς σὺν χόλῳ,
δεινὰς ἀπειλὰς παντελῶς δειμαλέως

τυρ. τί γοῦν ἐπηπείληκας, εἰπὲ καὶ τόδε.
ὡς εἴπερ οὐ θήσει με νικητὴν μέγαν,
καὶ παγκρατιστὴν τῇ μάχῃ στεφανίτην,
τάχα προσελθὼν τὸν ναὸν τῶν θυμάτων,
ἅπαντα θήσω πρὸς τροφὴν τῆς κοιλίας.

κρε. κἀγὼ συνέλθω σὺν συνεύνῳ καὶ τέκνοις.
ἀλλ' ὡς ἔοικε τὸν μῦθον καθιστορεῖς.

τυρ. Ναὶ δῆτα καὶ σύμπαντας ἀρτίως μύας
κεκληκέναι προὔμελλον εἰς ἐκκλησίαν.

κρε. οὐ νῦν ἐπεὶ δύοιτο τῶν φοιτημάτων
ἀπαλλαγῆναι τοῦ σκοτοκρύπτου βίου,
ἐλευθερωθῆναί τε γαλῶν τοῦ φόβου.
οὖν μῦς ἅπαντας ἀρτίως συγκλητέον.
καὶ πρῶτον εἰς κατάρξιν ἰτέον λόγων,

τῶν

ἐθ' ἐπρεπόντων προσφορὰν εὐπολμίαν.
ἢ καὶ στρατηγοὺς στρατηγῶν εἰργακότων,
καὶ ταξιάρχας καὶ λοχαγοὺς, ὡς θέμις,
λογχηφόρους τε καὶ κραταιοὺς ὁπλίτας,
ἀντεξίωμεν εἰς μόθον τεταγμένοι.

τυρ. καλῶς προσέφης καὶ σοφῶς καὶ κοσμίως.
καὶ γὰρ τὸ γῆρας νουθετεῖ καὶ σωφρόνως.
κῆρυξ ἴτω δὲ καὶ καλείτω τοὺς μύας.

κῆρυξ ἰδοὺ πάρεισι μύαρχοι συνηγμένοι
καὶ σοὶ παρεστήκασι βουλευτηρίῳ.

κρε. ἐγὼ μὲν ὦ σύνταγμα γενναίων φίλων
εὐεκτον εὔομιλον ἐκ πολλοῦ χρόνου
πολλὴν κατεγνοὺς τῶν πάλαι πεφυκότων
τὴν ἀσθένειαν καὶ κακίστην δειλίαν
ἀνθ' ὧν πρὸ ἔσω φωλεῶν μυχαιτάτων,
μενόντων οὐκ ἄτολμον εἶχον καρδίαν.
ἀλλ' ὡς κλινήρεις καὶ μέλει τρεμόμενοι
ἔπησαν ἐλθεῖν εἰς μάχην ἐναντίων,
ἤδη στρατεύειν ἰσορῶ θαρραλέως.
οὐ γὰρ προσῆκον μοι δέδοικτο καὶ φίλον
ἀνθρώπῳ φέροντι καὶ κρατοῦντι μυείων
πομπὰς τελοῦντι καὶ κρότοις ἠνεμένῳ,
τρέμειν προελθεῖν τῆς ἐμῆς μυωξίας.
ὑμεῖς δ' ἐντίμως τὸν λόγον δεδεγμένοι,
ὡς εὐγενῶν μέλοντες ἐκ φυταπόρων,
καὶ πανσθενῶς ἔχοντες αὐτῶν τοῦ πόνου,
μὴ νωχελεῖς γένησθε πρὸς τὰ πρακτέα,
μηδ' ὀκνήσητε μηδαμῶς ὦ γενναῖοι.
ἀλλ' ὡς τάχιστα ἅπαντες ὦ θεῖοι μύες

ἴτε προθύμως εἰς νέαν στρατηγίαν,
ζῆλον λαβόντες τῆς ἐμῆς ἐξουσίας.
ἐγὼ γὰρ οὐκ ὤκνησα πώποτ' εἰς μόθον,
ἀλλ' ὡς ἀληθῆ ἐκ νέας ἡλικίας,
ὅτε τὸ στρατηγεῖν ἀνδρικῶς ἐτραπόμην.
πάσαις δὲ πάντη προσβολαῖς ἐπεκράτουν.
γένους γὰρ φυεὶς εὐγενοῦς ἐξ ὀσφύος,
ὡς ἴστε πάντες τὰ πάλαι θρυλλούμενα,
ὧν τῇ δυνάμει καὶ φρενῶν γερουσίᾳ
ἐμοὺς γονεῖς ἕλκοντας ἄπλετον κλέος,
τοὺς χαρτοδαπίας ὀνομασμένους λέγω,
κοὐκ ἤθελησα ζῆν τὸν ἄπονον βίον.
ἀλλ' εἰς μάθησιν τῶν στρατηγικωτάτων
ἀπεῖδον εὐθὺς ἐκ νέου μειρακίου,
ἤσκησα κοντὸν καὶ σπάθην σὺν ἀσπίδι,
βαίνειν ἐφ' ἵππους καὶ στρέφεσθαι ποικίλως,
βάλλειν τὸν ἐχθρὸν εὐστόχως καὶ καιρίως,
τείνειν τὸ τόξον καὶ τὸν ἰὸν ἱέναι,
καὶ πᾶσαν ἁπλῶς τὴν στρατηγίαν τέχνην,
μετῆλθον ὡς ἅπαντες οἱ στρατηλάται.
μόθων δὲ πολλῶν ἐγκρατὴς δεδειγμένος,
καὶ πλεῖστα δοῦλα τῆς ἐμῆς ἐμπειρίας
ἔθνη δεδειχὼς, ἦλθον εἰς μυαρχίαν,
πάντων ἄριστος καὶ μέγας κεκριμένος.
καὶ νῦν παγκάκιστον ἔγνων τυγχάνειν
τὸν ἀνθάμιλλον τοῦ Διὸς καὶ τῆς Ῥέας,
ζῷον τρέμειν τι μικρὸν ἠθλιωμένον.
τοίνυν κελεύω τοὺς ἐμοὶ πεφιλμένους,
ἅπαντας εἰς σύνταξιν ἐλθεῖν τῆς μάχης,

στερρῶς

στερρῶς, κρατερῶς, εὐσθενῶς, εὐκαρδίως,
σοφῶς, ἐναργῶς, εὐφυῶς ὡπλισμένους.
ταυνῦν δὲ λοιπὸν, ἴτε πρὸς τὰς οἰκίας,
τὴν αὔριον δ᾽ ἕωθεν ὦ στρατηλάται,
πάντα κινῆσαι βούλομαι θαῤῥαλέως.
δοκεῖ γὰρ οὕτω συμφέρειν πρὸς τὸ πέρας.

τυρ. ἐπείπερ ἤδη πάντες εἰς τὰς οἰκίας
ἀπῆλθον, ὥρα τοῦ καθευδῆσαι κλίνῃ.
ἄπειμι κἀγὼ πρὸς κλίνην τὴν ἰδίαν.

κρε. εἴρηκας ὀρθῶς, τοιγαροῦν πειρατέον.

χορ. ὦ ποῖον ἄλγος νῦν κρατεῖ με καὶ θλίβει.
ὦ ζεῦ τί τοῦτο τῆς παρούσης ἡμέρας;
δεινὸς λογισμὸς ἔχει μου τὸν δεσπότην
γαλῇ προσάψαι μᾶλλον οὐ λαθριδίως.
δοκῶ γὰρ αὐτὸν σὺν πάσῃ στρατηγίᾳ
θανεῖν, λιπόντα τὸν φαεσφόρον λύχνον.
ἄπολλον, ἀγνόμαντι, φοῖβε, λοξία,
τί τοῦτο τοῦτο; φεῦ, παπαί, φεῦ μοι πάλιν.
ἰατταταιὰξ ὦ πόνων ἰαλέμων.
αἶ, αἶ, ἰοὺ, ἰοὺ, ὦ κακῶν πονημάτων.

ἡμι. ἴσως κρατήσει τὴν μάχην κατακράτος.
ἄπιστ᾽ ἄπιστα καινὰ καινά μοι λέγεις.
τὸ τοῦ διὸς θέλημα νῦν ὑπαρξάτω

τυρ ὁρῶ θέουσαν ἀπ᾽ ὑέλων ἡμέραν.

κρε. καὶ μὴν κἀγὼ δέδορκα τὴν λαμπηδόνα.

τυρ. καὶ τοιγαροῦν λίποιμεν ὕπνον καὶ κλίνην.
οἷς δὲ καὶ βοῦς τοῖς θεοῖς τεθυκότες,
πρὸς τὸν μαχησμὸν ἐξίκωμεν ἀτρόμως.
δεῖ γὰρ πρὸ πάντων ἱλεοῦν τοὺς ἐν πόλῳ.

κρε. ἰδοὺ θύσαντες ἐκκαλοῦμεν τὸν δία,
καὶ τὴν ἀθηνᾶν καὶ τὸν ἑρμῆν καὶ πᾶνα,
καὶ τὸν ποσειδῶ, καὶ τὸν ἁγνὸν λοξίαν,
ἥραν σὺν αὐτοῖς, ἄρτεμίν τ' ὀρειβάτιν,
πλούτωνα, λητὼ, σὺν ἅδῃ περσεφόνην,
καὶ πάντας ἄλλους. καὶ προβοῦμεν τὸν πόδα.
χορ. ὦ πάντες ὦ σύμπαντες ὦ θεοὶ μόνοι,
ὅσοι τ' ἄνωθεν καὶ κάτω κληρουχίαν
ἔχοντες ἐστὲ τῶν καλῶν χορηγέται,
πρόσεστε καὶ πρόσητε καρτερωτάτως.
τῶν δεσποτῶν μου τὴν νέαν στρατηγίαν
καὶ τῶν τελούντων πρὸς τὸ παμφάγον γένος.
ἐμοῦ. νῦν εἴθε νικήσειαν ὦ ζεῦ τῷδε μόθῳ
ἐμοὶ στρατηγοὶ καὶ σύνευνος καὶ τέκνον.
χορ. καλὸν τὸ νικᾶν, ἀλλὰ δειλία μ' ἔχει.
γυνή κἀγὼ δέδοικα καὶ τρέμω κατακράτος.
χορ. δεινὸν γάρ ἐστι δυσμενῶν εὐανδρία,
γυνή ὦ ζεῦ βασιλεῦ χρηστὸν ἔργασαι μόθον.
χορ. ἀεὶ τὸ θεῖον τῶν καλῶν ἅπαν νέμει
γυνή εἰ μὲν κρατήσει τῶν μυῶν αἱ πληθύες·
ἐξισχύσουσι τοὺς ἐναντιουμένους,
εὖ ἂν τὸ λοιπὸν ἀνύσοιμεν τοῦ βίου,
καὶ τὸν φόβον ῥίψαιμεν ὡς ποῤῥωτάτω.
χορός ναὶ δὴ γένοιτο τοῦτο σὺν θεῷ λέγω.
γυνή εἰ δ' ἥττονες γένοιντο τῆς ἐναντίας,
καὶ πρὸς φυγὴν βλέψωσιν ὡς τετραμμένοι,
ἅπαντα φροῦδα προσγενήσεται τάχα.
χορ. ὡς εἴθε μὴ γένοιτο μὴ δ' ἔσοιτό μοι.
γυνή καὶ πᾶς γένηται δοῦλος αἰχμαλωσία.

οὐκ

Χορ. οὐκ, ἀλλὰ δεινὸν βρῶμα τῆς ἐναντίας.
Γυνή κἀγὼ δὲ δούλη παισὶν σὺν τοῖς φιλτάτοις,
ἢ πρὶν κυρία προσφανήσομαι τάχα.
Χορ. ἥκιστα δούλη σὺ γενήσῃ σὺν τέκνοις,
ἀλλ' ὡς ἀληθῶς βρῶμα τῆς ἀνδροφάγου.
Γυνή τί γοῦν προλίπω τὸ γλυκύτατον φάος,
καὶ συγκαλυφθῶ τῇ κόνει ἐν τῷ τάφῳ.
Χορ. σίγα σίγα δέσποινα, δεινόν τι βλέπω.
καὶ μῦν ὁρῶ θέοντα τὸν ἐσπασμένον
καὶ πυκνὸν ἀσθμαίνοντα καὶ πεπληγμένον.
Ἀγγ. κυρία ποῦ πάρεστι, τίς δηλωσάτω.
Χορ. πάρεστί σοι θέλοντι ταύτην εἰσβλέπειν.
Ἀγγ. τάλαινα παντάλαινα καὶ τρισαθλία,
πέπτωκε πρωθεὶς ὁ ψιχάρπαξ ἐν μάχῃ.
Γυνή ὦ τοῦ ποθεινοῦ καὶ πεφιλημένου τέκνου,
πέπτωκεν ἡ 'μὴ τοῦ γήρως βακτηρία,
ὢ τῶν πόνων ὢ τῶν πόνων ἰαλέμων.
ποῦ ποῦ τὰ πάντα δεινὰ τῶν ἀγγελμάτων.
ἰοὺ θανοῦμαι, τίς γένωμαι, ποῦ φύγω,
ποῦ βῶ; στεροῦμαι τῶν μελῶν ἀῤῥωστίας.
ὦ παῖ, παπαῖ, παῖ φιλτάτη θεωρία,
Χορ. τέτλαθί μοι τέτλαθι, παῦσαι τῶν γόων.
Γυνή ὦ ζεῦ ταναὼ διφρεῦτι τανοστρέπον.
Χορ. αἶ αἶ τάλαινα μῆτερ ἠθλιωμένη,
ἐπίσχες ἄρτι σοὺς ἀπειρίτους γόους.
Γυνή ὦ φιλτάτη πρόσοψις, ὦ παῖ μοι φίλε.
Χορ. φέρειν πρέπον σοι τὴν ἄπειρον ἀνίαν,
μαθεῖν δὲ λοιπὸν τἀπίλοιπα τοῦ μόθου.
Γυνή ἀλλ' οὐ σθένω χεῖν τοῦ πόνου τὴν πικρίαν.

χορός τίς νῦν ὄνησις ἐκ γόων ἀμετρίας;
γυνή αὐτὴν διαχρήσαιμι καὶ τάχει θάνω.
χορ. μὴ δῆτα τοῦτο μηδὲ συστρέφειν θέλε.
γυνή καὶ πῶς ἀνεκτὸν μὴ πεφύρθαι καὶ στένειν,
χορ. τί δὲ στένουσα τοὺς λογισμοὺς κουφίζεις;
οὐδεὶς θανόντας ἐξεγείρει τοῦ τάφου.
γυνή παυθεῖσα τί πράξαιμι τῶν στεναγμάτων;
χορ. μαθεῖν θέλουσα τἀπίλοιπα τοῦ μόθου.
γυνή καὶ κατείπῃ ταῦτα καὶ σαφηνίσῃ;
χορ. ὁ τῶν προόντων ἄγγελος ἀγγελμάτων.
γυνή καὶ ποῦ πάρεστιν; Χορ. εἰσορᾶν ἔξεστί σοι.
γυνή ἐκ τοῦ πάθους ὄλωλα καὶ συνετρίβην,
καὶ τὰς κόρας ἤμβλυνα τὰς τῶν ὀμμάτων.
χορ. ἅπαν λέγ' οὐκίνητον ἀγγεληφόρε
ὅπως μὲν ὅση τῆς μάχης ἡ τραχύτης,
καὶ πῶς ὁ παῖς πέπτωκε καὶ προερρύου.
ἀγγ. εἴπω καθεξῆς ἢ τέμω τὰς ἐμφάσεις;
χορ. ἑξῆς ἅπαν ἔξειπε συμβὰν τῇ μάχῃ,
αὐτῆς ἀπ' ἀρχῆς τοῦ λόγου διεννέπων.
ἀγγ. εἴπω τὰ πάντα, σιγαροῦν ἀκουστέον.
ἐπεὶ εἰς σύμμιξιν ἦλθον τῆς μάχης,
πρῶτον μὲν ὁ κράτιστος ἐθνοσατράπης,
ὁ ψιχολείχης συμβαλὼν τῷ παμφάγῳ
ἤττηται καὶ πέπτωκεν, οἰκτρά τις θέα.
καὶ πᾶσα τούτῳ στρατιὰ διεφθάρη.
ἔπειτ' ἐπῆλθεν ἄλλος ἀρχισατράπης,
ὃς παῖς ὀνόμαστο κωληκοκλόπος.
καὶ ταὐτὸν αὐτῷ πτῶμα πέπτωκε ξένον,
οὐδ' ὑπομείνας προσβολὴν βραχυτάτην.

ὡς

ὡς γοῦν ἑώρα τοὺς κρατιοὺς σατράπας
ἤδη πεσόντας ὁ Ψιχάρπαξ, καὶ βόσιν
οἰκτρὰν φανέντα σὺν στρατῷ τῇ παμφάγῳ,
ὀργῆς ἐπλήσθη καὶ χόλου βαρυτάτου.
θυμοῦ γὰρ οὐδέν ἐστιν ἄλλο πικρία,
εἰ μὴ ζέσις τις αἵματος πρὸς καρδίαν.
λαβὼν δὲ κοντὸν χερσὶν ἐστομωμένον,
ἐπῆλθεν αὐτῇ τοῦ τεθανατωκέναι.
ἡ δ' εἰσιδοῦσα τοῦτον ἡτοιμασμένον,
ἐκ τοῦ σύνεγγυς πρὸς σφαγὴν ἑστηκότα,
καὶ κοντὸν ἐκτείνοντα καρτερωτάτῳ,
ὥρμησεν αὐτὸν συλλαβεῖν παραυτίκα,
καὶ δὴ κατεῖχε τοῖς ὄνυξιν ἀγρίως,
καὶ σὺν τάχει βέβρωκε τὸν νεανίαν.

κρε. καὶ ταῦτ' ὄψει τοῦ φίλου φυτοσπόρου.
γυνή τὸ μεῖζον αὐτὸ τυγχάνει μοι τοῦ πάθους.
ἄγγ. ἐγὼ δ' ἐπεὶ δέδορκα τοῦτο τὸ πρᾶγμα,
προσῆλθον ὦ πότνια σοὶ πεφρακέναι.
γυνή ὡς ὤφελε μὴ δ' ἐπῆλθες ἀγγελοφόρε.
μέγιστον ἦν μοι μηδόλως προσιέναι.
οὐκ ἂν γὰρ ἀκμὴν τῷ πάθει συνεσχέθην.
ἄγγ. ἐγὼ μὲν οὖν ἄπειμι τὴν ὀπισθίαν.
γυνή ἔλθοις κακῶν ἥκιστα μηνυτὴς πάλιν.
κρε. κακὸς κακῶς ὄλοιτο νῦν ὁ πυρφόρος.
γυνή δέδοικεν ἡμᾶς πυρφορήσας τῷ λόγῳ.
κρε. ὦ ποῖον ἄνθος τῶν μυῶν ἀπεκρύβη.
ἐμοὶ δοκεῖ κάλλιστον εἶναι καὶ πρέπον
σύνθρηνον ᾆσαι παιδὶ τῷ πεπτωκότι.
γυνή καλῶς ἔφησας, τοιγαροῦν θρηνητέον.

ἄγγ. πρώτιστα σὺ κρότησον ἀρχὴν τοῦ πάθους.
γυνή ἆ παπαὶ παπαὶ, παῖ παῖ, παπαὶ πολλάκις.
χορ. παῖ κρεῖλλε παῖ παῖ παπαὶ δέσποτα.
γυνή ἆ ἆ πόθι παῖ ποῦ ποτ' ἀπέβης τέκνον;
χορ. ποῖ ποῖ καλυφθεὶς ἐξαπέπτης τοῦ βίου.
γυνή ὢ ὢ πόθων ποῖ τῶν πόνων ἰαλέμων
χορ. ἰαλέμων ὢ καὶ πάλιν ἰαλέμων.
γυνή ἆ ἆ λέλοιπα τὸν λύχνον τῆς ἡμέρας.
χορ. ἄπανθ' ἅπαντα τοῦ βίου, τέφρα, κόνις,
ἅπαξ ἅπαντα τοῦ βίου σκιὰ μόνον.
γυνή οἱ οἶ προσῆλθες ὦ ψιχάρπαξ ὦ τέκνον.
χορ. ἀρκεῖ. τὸ λοιπὸν βαῖνε μὴ περαιτέρω.
ἤδη βλέπω γὰρ ἄγγελον ταχυδρόμον.
γυνή δέδοικα δεινὸν μὴ πάλιν τί μοι φράσῃ.
χορ. οὐκ ὦ σεβαστή. Γυν. πῶς γὰρ οἶδας; Χορ. πῶς ἄρα.
φαιδρῷ προσώπῳ τὸν δρόμον διατρέχων.
ἕτερ. ἄγ. ὡς εἴθε χρηστὸν ἄγγελον [illegible] μοι πρόσω.
χορ. ἡ δέσποτις πέφυκε ποῦ τὶς εἰπάτω.
ἄγγ. πάρεστιν, ἰδοὺ καὶ θέλεις εἴπερ βλέπε.
γυνή πάγχρυσε φαιδρὰ μὴ τεθλιμμένη γίνου,
κἀμοὶ βράβευε δῶρα τῶν ἀγγελμάτων.
γυνή ἔξειπε μὴ χλεύαζε κομπορημόνως.
ἄγγ. ἂν μοι νεμῆς πρώτιστα δῶρα τοῦ λόγου.
γυνή εἴποντι δώσω καὶ παράσχω συντόμως.
ἄγγ. τέθνηκεν ἡ τάλαινα γαλῆ [illegible] μόθῳ,
γυνή ἆ ἆ κροτήσω καὶ χαρήσομαι πλέον.
ἄγγ. νικησάτω γοῦν ἡ χαρὰ τὴν ἀνίαν.
γυνή ὑφ' ἡδονῆς μέγιστον ὀρχοῦμαι πάνυ,
χορ. τὸ τοῦ μόθου πρότερον μάθωμεν φίλη,

καὶ

καὶ πᾶς τέθνηκε δυσμενὴς ἡ παμφάγος.
γυνή. ἐξειπάτω δὴ πᾶσαν ἀγγελιαφόρος
τὴν συγκρότησιν τῆς μάχης καὶ τὸν μῶλον
τῆς ἀγριωποῦ καὶ κακῆς μυοκτόνου.
χορ. ἡ δέσποτις λέλακε τὴν γλῶτταν κρότει.
ἀγγ. ἰδοὺ τὸν ἑρμῆν εὐτρεπίζω τοῦ λόγου,
ὑμεῖς δ' ἑτοίμως ὠσὶν οὖσιν ὀρθίοις,
ἐνωτίσασθε τῶν ἐφορμηνευμάτων.
ὡς γοῦν ὁ δεινὸς σωματοφθόρος μόθος
ἔσχηκεν ἀρχὴν προσβολῆς εὐκοσμίας,
καὶ πρῶτον μὲν πέπτωκεν ἐθνοσατράπης
ὁ ψιχολείχης, εἶθ' ὁ κωληκοκλόπος,
ἔπειθ' ὁ παῖς τοῦ καλοῦ μυοδεσπότου,
ἤλγησεν οὗτος πάθει τὴν καρδίαν,
ἰδὼν τὸν υἱὸν τὸν φίλον τεθνηκότα.
καὶ τὴν ὑπ' αὐτὸν στρατιὰν προτρέψας,
ἐπῆλθεν ἀπλῶς τῇ φθόρῳ καὶ παμφάγῳ,
καὶ πρὸς ἅμιλλαν ἀτρόμως συνεπλάκη,
πλεῖστον δὲ καιρὸν ἀνθυπηγωνισμένων,
καὶ μηδενὸς φεύγοντος ἀλλ' ἑστηκότες,
ξύλον κατελθὸν τῆς ὑπερτάτης στέγης,
ἔτει παλαιῷ καὶ χρόνῳ τεθρασμένον,
ἔπληξεν αὐτὴν ἐν μέσῳ μεταφρένῳ,
καὶ νεῦρα συντέθλακεν αὐτῆς αὐτίκα,
καὶ πρὸς βάθη πέπτωκεν ἀϊδώνεως.
καὶ τὴν πρὶν ἡμῶν δυσμενῆ κατακράτος,
ἄσπονδον, ἀμείλικτον, ἠγριωμένην,
ἔδειξεν ἄπνουν ἐκτάδην ἡπλωμένην.
χορ. ζώοις ἀλύπως, εὐθαλῶς, εὐκαρδίως,

εὐ λυ-

οὓς λυκάβαντας μή πω πεπληρωμένους.
ἀνθ' ὧν πρὶν ἦλθεν ἄγγελος ποθουμένων,
καὶ τὸν φόνον προὔφηνας ἡμῖν τοῦ φθόρου
ἤδη γὰρ εἶδον πᾶν ποθούμενον τέλος,
εἰληφὸς ἄρτι καὶ καλῶς ἠνυσμένον.

ΤΕΛΟΣ.

INDEX FABVLARVM

Adolescentuli & coquus	127	Arundo & oliua	227
Aegrotus & medicus	119	Asinus & hortulanus	245
Aethiops	171	Asinus & equus	157
Agnus & lupus	231	Asinus & leo	165
Agricola & filij	125	Asinus sylucstris	201
Agricola & asinus	99	Asinus & uulpes	203.239
Agricola & ciconia	245	Asinus & ranæ	eodem
Agricola	175	Asinus & uulpes	205
Alcedo	169	Asinus & coruus	ibidem
Anus & medicus	129	Asinus gestans simulachrum	235
Anseres & grues	159	Asinus, sal, & spongiæ	247
Apiarius	179	Asini	201
Aquila	219	Auarus	157
Aquila & uulpes	103	Auceps & uipera	133
Aquila & scarabeus	95.105	Auceps & cassita	133
Aquila & cornicula	243	Bubulcus	217
Aquila & sagitta	245	Butalis	173

Camc

Camelus 207
Camelus & Iupiter 247
Cancer & uulpes 189
Canis & coquus 138
Canis & lupus eodem
Canis uenat. & domesti. 285
Canis & gallus 157
Canis & ipsius imago 247
Caprea & leo furens 233
Caprea reprehendens pedum tenuitatem 239
Carbonarius & fullo 315
Cassita 153.261
Cerua 161
Cerua & leo ibidem
Cerua & uitis 161.237
Cicada cũ locustis capta 75
Cicada & formicæ 219.255
Citharœdus 189
Cocleæ 173
Columba 207
Columba & cornix 207
Cornicula & cæte. aues 245
Cornix & coruus 191
Cornix & canis ibidem
Coruus & uulpes 247
Coruus 219
Coruus & serpens 141
Culex & leo 231
Culex & taurus 235
Cygnus 171
Deceptor 119
Diues 209
Eques & agricola 249
Equus & asinus 211
Equus & aper 425
Felis & gallus 109
Felis & mures 126
Fiber 135
Filia à parente uiolata 99
Formica 197
Formica & columba 141
Formica & cicada 251.255
Fortunæ biuium 71
Fures 189
Galli & perdix 113
Galli 229
Gallina & hirundo 205
Gallina auripara 221.241
Herus & canes 125
Hinnulus 155
Hirundo & cornix 171
Hirundo & prætoriũ 245
Hircus & uits 239
Hœdus & lupus 187.223
Homo & satyrus 213
Homo perfractor statuæ 215
Homo & canis eodem

Iacta/

Iactator 117
Impossibilia promittens 117
Inimici 129
Iupiter 195.197
Leo, asinus & uulpes 157
Leo & rana 157. (233
Leo & ursus 159
Leo & lupus 167
Leo & uulpes 221
Leo dormiens & mus 233
Leo, aper & uultures 233
Lepores & ranæ 165
Lepores 917
Lignator & Mercurius 143
Lupus & ouis 197
Lupus & uetula 223
Lupus & agnus 197.247
Lupus & asinus 249
Lupus & grus 127.249
Lupi bellũ ouib. inferẽtes 73
Malignus 117
Maritus & uxor 187
Medicus & ægrotus 133
Mercurius & Tiresias 183
Mercurius 195
Monedula 193
Monedula & columbæ 193
Morsus à cane 127
Mulier & gallina 125
Mulier & arans ad sepulchrum 93
Mulier & ancillæ 173
Mulier uenefica 175
Mulus 225
Muscæ 183
Mus & rana 95.265
Mustela 175
Olitor & canis 163
Pastor & mare 146
Pastor & lupus 167
Pauo & monedula 153
Philomela & accipiter 107
Piscator & ceruus 211
Piscatores 115.119
Piscator 181.217
Pulex 156
Puer & scorpius 237
Puer & mater 149
Puer comedens intestina 235
Pugna ferarum ac uolucrum & struthionum 245
Punica & malum 151
Ranæ 121.177.229
Ranæ & sol 241
Senex & mors 229
Serpens & cancer 165
Serpẽs & agricola 225. 237
Serpens & agricola 258

Ser-

Serpens 207
Simiæ 58
Simius & delphis 181
Singularis & uulpes 159
Stellarum speculator 241
Sus & canis 163.165
Sus & mus 237
Talpa 151
Tibicen 225
Taurus & hircus 249
Testudo & aquila 159
Thunnus & delphin 131
Vates 139
Viator 147
Venator & pastor 249
Vermis & uulpes 221
Vespertilio & mustela 199
Vespæ & perdices 151
Vir, felis & uxor 239
Vir misticapillus & duæ amicæ 243
Viatores 177.199
Vulpes 111.115
Vulpes & crocodilus 113
Vulpes & hircus 107
Vulpes & leo 109
Vulpes & lignator 213
Vulpes & rubus 111.255
Vulpes & simius 131
Vulpes & uua 241

FINIS.

BASILEAE IN OFFICINA HERVA
GIANA PER IOAN. HERVAG.
ET IO. ERAS. FROB.
M. D. XXXVIII.

